Ham. Georgii Hamartoli Chronicon ed. Muralt Petropoli 1859
C Crameri anecdota Oxon. vol. II p. 427 sqq.
Uncis quadratis in adnotatione critica ea inclusi quae a recentioris aetatis librario in lacunis codicis addita sunt.

Digitized by Google

fol. 185r
cod.
3 B

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΗΦΟΡΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

## ΙΣΤΟΡΙΑ ΣΥΝΤΟΜΟΣ

## ΑΠΟ ΤΗΣ ΜΑΥΡΙΚΙΟΥ ΒΑΣΙΛΕΙΑΣ.

---

*Μετὰ τὴν Μαυρικίου τοῦ βασιλέως ἀναίρεσιν Φωκᾶς,* a. 601
*ἐπεὶ ταύτην διειργάσατο, τῆς βασιλείου ἀρχῆς ἐπιλαμβάνεται·*
*οὗ δὲ ἄρξαντος ἐπὶ τοσοῦτο κακώσεως Χριστιανοῖς ἤλασε*
*τὰ πράγματα ὡς παρὰ πολλοῖς ᾄδεσθαι ὅτι Πέρσαι μὲν τὴν*
*Ῥωμαίων ἀρχὴν ἐκτὸς κατεπήμαινον, Φωκᾶς δὲ ἔνδον χείρω*
*τούτων ἔπραττε. ταῦτα οὐκ ἀνεκτὰ Ῥωμαίοις ἐγίνετο· διὸ οἱ* a. 610
*περὶ τὴν Λιβύην τηνικαῦτα ἡγεμονεύοντες, ἅτε τῷ μεγίστῳ*
*διαστήματι τὸ θαρσεῖν ἔχοντες καὶ ἅμα παρὰ Μαυρικίου τὰ*
*τῆς στρατηγίδος ἀρχῆς ἐγκεχειρισμένοι (δύο δὲ ἦστην ἀδελφώ,* 4 B
*Ἡράκλειος καὶ Γρηγόριος), οὗτοι κοινῇ βουλευσάμενοι τοὺς*
*υἱεῖς πρὸς τὸ Βυζάντιον ἐκπέμπουσιν ἄστυ, ἀλλήλοις συν-*
*θέμενοι ὡς τὸν προφθάσαντα τούτων τῆς βασιλείας, εἰ*
*δύναιτο, ἐπιλήψεσθαι. καὶ Ἡράκλειον μὲν τὸν Ἡρακλείου*
*παῖδα πλεῖστον καθοπλίσαντες στόλον ἐκ τῶν Ἄφρων καὶ*
*Μαυρουσίων ἀνδρῶν πληρώσαντες πλοῖ ἐξέπεμπον, Νικήτην δὲ τὸν Γρηγορίου υἱὸν ἱππικῇ στρατιᾷ πολλῇ περι-*

7 διειργάσατο ex διειργάσατο c *lit. sec. m. ut videtur facta* 16 ὑεῖς c *post* υἱεῖς c² *addit* ἑαυτῶν 19 πλεῖστον — στόλον] πλείστῳ — στόλῳ c. *cf.* p. 34, 23. — ἔκ τε Ἄφρων?



Digitized by Google

βαλόντες διὰ τῆς ἠπείρου ἀπέστελλον. δεξιᾷ δὲ τύχῃ χρησάμενος Ἡράκλειος καὶ πνεύμασιν ἐπιφορωτάτοις ἀναχθεὶς φθάνει Νικήταν εὐπλοΐσας εἰς Βυζάντιον, καὶ ἤδη τῇ πόλει προσεσχηκὼς ἐπέλαζε. Κρίσπος δέ (τοῦ Φωκᾶ δὲ ἦν οὗτος γαμβρός, ὃς τηνικάδε τὸν τοῦ ὑπάρχου τῆς πόλεως θρόνον διέπειν ἔλαχε, καὶ μεγάλα ἐν τοῖς βασιλείοις δυνάμενος), ἐπεὶ ἀπηχθάνετο Φωκᾷ ὡς δὴ περιυβρισμένος ὑπ' ἐκείνου τυγχάνων τῆς οἰκείας εἰκόνος καθαιρέσεως ἕνεκεν, ἣν ποτε οἱ τῶν ἀντιθέτων χρωμάτων δημόται τῇ τοῦ Φωκᾶ συμπαρέγραψαν εἰκόνι, δόλῳ αὐτὸν μετήρχετο, καὶ πονεῖν μὲν ὑπὲρ αὐτοῦ πλαττόμενος ἔπειθε καὶ Ἡράκλειον ἐπ' ἀπωλείᾳ ἑαυτοῦ ἥκειν ἀπισχυρίζετο, συνήργει δὲ ὅμως Ἡρακλείῳ καὶ τῷ ὄντι τὰ ὑπὲρ αὐτοῦ εἰς τὰ μάλιστα ἔπραττεν. οἱ οὖν περὶ Φωκᾶν θεασάμενοι καὶ ὅσον πολιτικὸν ἐξ αὐτῶν ἐστασίαζον (ἤδη γὰρ οἱ τοῦ πρασίου χρώματος δημόται τοῖς περὶ τὴν Καισαρίου τὸ πῦρ ὑφῆπτον καὶ τὸν ἔπηλυν βασιλέα ἀνευφήμουν), ἐπικειμένους δὲ αὐτοῖς καρτερώτατα καὶ τοὺς ἐκ
5 B τῶν Ἡρακλείου στρατευμάτων εἰσιόντες, καταλιπόντες αὐ-
fol. 185v τὸν ἐφ' ἑαυτοῖς γίνονται. Φώτιος δέ τις τοὔνομα, ὃς παρ' αὐτοῦ εἰς τὴν σύζυγον ἐπιβουλευθείς ποτε καθυβρίζετο, εἰς τὰ βασίλεια σὺν πλήθει στρατιωτῶν ἐπιὼν Φωκᾶν αὐτίκα κατέσχε, καὶ τῆς βασιλικῆς αὐτὸν ἀπαμφιέσας ἐσθῆτος, περίζωμα μέλαν αὐτῷ περιθέμενος, τὰς χεῖρας περιηγμένας εἰς τοὐπίσω ἀποδεσμήσας καὶ πλοίῳ ἐμβαλὼν πρὸς Ἡράκλειον δεσμώτην ἀπήγαγεν. ὃν ἰδὼν Ἡράκλειος ἔφη "οὕτως, ἄθλιε, τὴν πολιτείαν διῴκησας;" ὁ δὲ "σὺ μᾶλλον" εἶπε "κάλλιον διοικεῖν μέλλεις". εὐθὺς οὖν αὐτοῦ τὸν διὰ ξίφους ἔτι πρὸς τῷ πλοίῳ ὄντος καταψηφίζεται θάνατον, ἔπειτα ἀκρω-

3 εὐπλοίας c εὐπλοΐσας $c^1$ 7 ὑπ' ἐκείνου *vulg.* ἐπ' ἐκ. c. 13 εἰς τὰ μάλιστα $c^2$ τὰ *om.* c *vulg.* 14 ἐξ αὐτῶν] ἑαυτῶν c. *cf.* p. 50, 27. — ἐστασίαζον] στασιάζον B 15 γὰρ καὶ οἱ $c^2$ 19 Φωτεινὸς *Ham.* 21 ἐπιὼν Φ. αὐτίκα] ἐπὶ τὸν Φ. αὐτίκα c ἐπὶ τὸν Φ. εἰσελθὼν (*s.* εἰσδραμὼν) αὐτίκα B 28 ὄντος B ὄντι c

τηριάζεσθαι, χεροῖν τε δεξιὰν ἄνωθεν ἐκ τοῦ ὠμιαίου ἄρθρου ἐκκόπτεσθαι καὶ τῶν αἰδοίων ἐκτέμνεσθαι καὶ κοντοῖς ἀναρτᾶσθαι, οὕτω τε τὸ σῶμα συρὲν κατὰ τὴν τοῦ Βοὸς λεγομένην ἀγορὰν τῷ πυρὶ καταπίμπρασθαι, Δομεντιόλον τε τὸν Φωκᾶ ἀδελφὸν καὶ Βονόσσον καὶ Λεόντιον τὸν τῶν βασιλικῶν χρημάτων ταμίαν τὸν αὐτὸν τῷ Φωκᾷ συνδιαφέρειν κίνδυνον προσέταττε. καὶ δὴ ταῦτα οὕτως ἀπέβαινε.

Σέργιος δὲ αὐτίκα ὁ τῆς πόλεως πρόεδρος καὶ ὁ λοιπὸς ταύτης ὅμιλος σὺν πάσῃ εὐγνωμοσύνῃ Ἡράκλειον ἐντὸς εἰσδέχεται. καὶ αὐτὸς Κρίσπον εἰς τὴν βασίλειον ἀξίαν προύτρεπε· μηδὲ γὰρ τῆς βασιλείας ἕνεκεν αὐτὸς ἐληλυθέναι ἔφασκε, τίσασθαι μᾶλλον Φωκᾶν τῆς εἰς Μαυρίκιον καὶ τὰ Μαυρικίου τέκνα παρανομίας. ὁ δὲ οὐκ ἐδέχετο. τέλος ὑπὸ τῆς συγκλήτου βουλῆς καὶ τοῦ δήμου Ἡράκλειος βασιλεὺς ἀνακηρύσσεται καὶ τὸν βασίλειον παρὰ τοῦ προέδρου 6 B
περιβάλλεται στέφανον· Κρίσπον δὲ στρατηγὸν ἀποστέλλει χειροτονήσας τῶν ἐν Καππαδοκίᾳ ἐκστρατευμάτων. ἐπεὶ δὲ ἡ φήμη διέθεεν ὡς Πέρσαι ἐπὶ Ῥωμαίους στρατεύουσιν, Ἡράκλειος ἐκ Βυζαντίου ἄρας παρὰ Κρίσπον κατὰ τὴν Καίσαρος πόλιν τηνικαῦτα τυγχάνοντα προσπορεύεται ὡς δὴ αὐτῷ [περὶ] τῶν κοινῶν ἕνεκεν βουλευσόμενος. καὶ ὃς μὲν νοσεῖν προσεποιεῖτο καὶ τὸν βασιλέα συχνῶς παραγινόμενον ἐν σχήματι ἀρρώστου κατακλινόμενος ἀηδῶς καὶ μόλις ἐδέχετο· εἶτα ἠκούετο ὡς καὶ διελοιδορεῖτο αὐτῷ· Ἡράκλειος δὲ τὸ δρᾶμα συνῆκε καὶ τὴν ὕβριν ὅμως ἤνεγκε καὶ ἤδη ἐκαιροφυλάκει. ἀλλ' ἔδοξε τέως γνησιώτερόν πως διαλέγεσθαι περὶ τοῦ δεῖν πονεῖν ὑπὲρ ἀλλήλων τῆς πολιτείας χάριν. ὁ δὲ οἷα ἐπιτωθάζων οὐκ ἐξὸν βασιλεῖ ἔφασκε καταλιμπάνειν βασίλεια καὶ ταῖς πόρρω ἐπιχωριάζειν δυνάμεσιν. ἐν τούτοις τίκτεται παῖς τῷ βασιλεῖ Ἡράκλειος, ὃν δὴ καὶ a. 612
Κωνσταντῖνον ὠνόμασεν. τότε δὴ παραγίνεται καὶ Νικήτας fol. 186r

2 τὸ αἰδοῖον? 12 δὲ μᾶλλον B 21 περὶ *del.*? 23 ἀειδῶς c

Digitized by Google

ὁ τὴν ἀξίαν πατρίκιος πρὸς τὸ βασίλειον ἄστυ. διὰ τοῦτο Ἡράκλειος εἰς τὸ Βυζάντιον ἐπάνεισι καὶ Νικήταν σὺν τιμῇ μεγίστῃ καὶ περιφανείᾳ ὥσπερ ἀδελφὸν γνήσιον καὶ ὁμότιμον δέχεται, καθὰ ἦν αὐτοῖς ἤδη συντεταγμένον ἐκ Λιβύης ἀπαίρουσι. καὶ Κρίσπος δὲ εἰς Βυζάντιον ἦκεν ὡς τῇ εἰσόδῳ Νικήτα συνησθησόμενος. σκήπτεται δὲ Ἡράκλειος τῷ θείῳ λουτρῷ τὸν υἱὸν καθαγνίζειν, υἱοθετεῖσθαι δὲ αὐτὸν ὑπὸ Κρίσπου. ὁ δὲ ἐπὶ τούτοις εἰσέρχεται εἰς τὰ βασίλεια. Ἡράκλειον δὴ ἀθροίσαντα τοὺς ἐκ τῆς συγκλήτου
7 B βουλῆς ἅπαντας καὶ τὴν ἄλλην πληθὺν τοῦ ἄστεως ἅμα τῷ προέδρῳ Σεργίῳ εἰπεῖν λέγεται πρὸς αὐτούς "ὁ βασιλέα ὑβρίζων τίνι προσκρούει;" τοὺς δὲ φάναι "τῷ θεῷ τῷ ποιήσαντι αὐτὸν βασιλέα". καὶ Κρίσπον προτρέπειν, καὶ αὐτὸν ἀποφαίνεσθαι τὸ δοκοῦν ὀρθῶς· τὸν δὲ οὐκ εἰδότα τὸ δραματούργημα λέξαι μηδὲ φιλανθρώπου τυχεῖν δίκης τὸν ἐπὶ τοιούτῳ ἁλόντα τολμήματι. καὶ τὸν βασιλέα ἀναμιμνήσκειν αὐτὸν οἷα ἐν Καισαρείᾳ ἐπὶ τῇ νόσῳ κατεσχηματίσατο, καὶ ὡς τὸ τῆς βασιλείας κατευτελίζειν ἀξίωμα ᾤετο, καὶ ὡς εἰς τὴν βασίλειον ἀρχὴν προύτρεπε. καὶ ἅμα λαβόντα τόμον κατὰ κόρρης τοῦτον παίειν, καὶ εἶτα λέγοντα "ὡς γαμβρὸν οὐκ ἐποίησας, φίλον πῶς ἂν ποιήσειας;" εὐθὺς δὲ ἐπιτρέψαι εἰς κληρικοῦ σχῆμα τὴν κεφαλὴν ἀποκείρασθαι, καὶ τὸν ἱεράρχην τὰ νενομισμένα ἐπὶ τῇ ἀποκάρσει ἐπιφθέγξασθαι. ἐξελθόντα δὲ αὐτὸν τοῖς μετὰ Κρίσπου στρατιώταις ἐπὶ λέξεως ὧδε εἰπεῖν "ὁ παπᾶς Κρίσπος ὑπουργοὺς ὑμᾶς ἕως τοῦ νῦν εἶχεν, ἡμεῖς δὲ σήμερον οἰκειακοὺς τῆς βασιλείας ὑπηρέτας". προσθεῖναι δὲ αὐτοῖς τὸ ἐξ ἔθους σιτηρέσιον, πρώτους τε καλεῖσθαι καὶ ἐν τοῖς στρατιωτικοῖς τάγμασιν· αὐτούς τε ἀσμενέστατα δεξαμένους τὸν βασιλέα ἐπευφημῆσαι ἅμα τῇ ἄλλῃ πληθύϊ. μετὰ δὴ ταῦτα Κρίσπον εἰς τὸ

9 Ἡράκλειος δὲ ἀθροίσας *vulg.* — τοὺς $c^2$ τῆς c 21 δὲ *delet* B δὴ? 23 ἐπιφθέγξασθαι $c^1$ *ex* ὑποφθέγξασθαι 25 ὑμᾶς *in lit. ex* ἡμᾶς c 29 δεξαμένους $c^1$ *ex* δεξάμενος

λεγόμενον τῆς Χώρας περιεῖρχθαι σεμνεῖον, ὃς ζήσας ἐνιαυτὸν αὐτοῦ ἐτελεύτησεν. Ἡράκλειος δὲ Θεόδωρον τὸν ἑαυτοῦ ἀδελφόν, τὴν μετὰ βασιλέα πρώτην ἀρχὴν κεκτημένον (κουροπαλάτην δὲ αὐτὸν οἱ περὶ τὰ βασίλεια καλεῖν εἰώθασιν), ἔτι καὶ Φιλιππικὸν τὸν Μαυρικίου τοῦ βασιλέως γαμβρὸν ἐπ' ἀδελφῇ γεγονότα, τηνικαῦτα δὲ εἰς κληρικοῦ σχῆμα ἀποκεκαρμένον τὴν κόμην, ἡγεμόνα τῆς ὑπὸ Κρίσπου πρώην ἰθυνομένης ἀρχῆς ἐξέπεμπε. Φιλιππικὸς δὲ ἐπιβιοὺς χρόνον ὕστερον ἐτελεύτα, καὶ πρὸς τῷ ὑπ' αὐτοῦ θωμηθέντι περικαλλεῖ ἄγαν καὶ σεβασμίῳ ἱερῷ τῷ κατὰ Χρυσόπολιν ὄντι ταφῇ παραδίδοται. 8 B

Ὀλίγου δὲ χρόνου διιππεύσαντος νόσῳ ἐπιληψίας ἡ τοῦ βασιλέως γαμετὴ Εὐδοκία ληφθεῖσα ἐτελεύτησεν. ἐν ᾧ δὲ τὸ ταύτης σῶμα ἐξεκομίζετο, καὶ πολλῶν ὡς τὸ εἰκὸς ἐπὶ τῇ θέᾳ συρρεόντων, συνέπεσε κόρην τινὰ ὕπερθεν τῶν ὑπερῴων διακύψασαν (θεράπαινα δὲ ἦν αὕτη τῶν ἀστῶν τινος) ἀποπτύσαι ὡς τὸν ἀέρα ἀφύλακτα καὶ τὸ περίττωμα κατὰ τῆς πολυτελοῦς ἐκείνης ἐσθῆτος περιενεχθῆναι ἢ τὸ τῆς βασιλίδος νεκρὸν περιέστελλεν· ἐφ' ᾧ οἱ περὶ τὴν ἐκφορὰν περιοργεῖς γενόμενοι συλλαμβάνουσί τε αὐτὴν καὶ τὸν διὰ πυρὸς κατεδίκασαν θάνατον, ἐντάφιον οὐκ εὐαγές, βαρβαρικῷ νόμῳ χρησάμενοι, τῇ ἐκδημίᾳ τῆς βασιλίσσης ἀθέσμως συμπαραπέμψαντες οἱ ἀνόσιοι. περιεζήτουν δὲ οἵγε καὶ τὴν δέσποιναν τῆς οἰκέτιδος, ὡς καὶ αὐτῇ τὸν ἴσον διάθοιντο κίνδυνον· ἡ δὲ δήπου αἰσθομένη τὸν ὄλεθρον διαπέφευγεν, οὔτι ὁραθεῖσα εἰς τὸ ἔπειτα πώποτε. καὶ ταῦτα μὲν ἀμφὶ τὰ βασίλεια ὧδέ πως ἔσχε. fol. 186ᵛ a. 612

Τὰ δ' αὖ ἑτέρωσε ὡς ἐτελεῖτο οὕτω συνέβαινεν. ἔν τινι τῶν ἐπιχωρίων (χώρα δὲ ἥτις ποτέ ἐστιν, οὐδαμῇ ἐς τὸ νῦν

5 ἔτι καὶ] ἔτι δὲ B 17 εἰς B 18 τὸν B 20 περὶ ὀργῆς c *corr.* B 28 ὡς] ὅσα B 29 ἐπαρχιῶν B τῶν ἐπὶ Θρᾴκης χωρίων? (*cf.* p. 35, 23; 48, 23; 66, 17) *an* τῶν περιχωρίων?

παραδέδοται) ἦν τις ἐν ἐκείνῃ περιφανείᾳ κομώντων εὐποριᾳ
9 B τε βίου λαμπρός, οὗ τὸ ἐπώνυμον Βουτηλῖνος ἐτύγχανεν,
τὴν δὲ ἀξίαν ἣν κανδιδάτον Ῥωμαίοις κικλήσκειν ἔθος.
τούτῳ γυνή τις χήρα ἐν γειτόνων διῳκημένη χαλεπῶς ἔφερε
τὸ γειτόνημα· ἀμφισβητήσεως γὰρ αὐτοῖς μεθορίων γῆς ἕνε- 5
κεν συμβαινούσης ὁ Βουτηλῖνος τοῖς παισὶ τοῖς αὐτοῦ ἐν-
εκέλευε μάχῃ ἐπιέναι τοῖς ὁμοροῦσι, καὶ οἵγε ῥοπάλοις ἕνα
τῶν τῆς χήρας υἱέων ἀναιροῦσιν. αὕτη ἀνελομένη τοῦ ἤδη
τεθνηκότος υἱοῦ ἡμαγμένον τὸ ἄμφιον ἐς Βυζάντιον ὡς
Ἡράκλειον ἵκετο, καὶ ἐπεὶ προϊόντα εἶδεν, εἰσδραμοῦσα τοῦ 10
χαλινοῦ τοῦ ἵππου ἐφ' οὗ ἐπωχεῖτο ἐφάπτεται, καὶ ἅμα τὸ
τοῦ παιδὸς ἔσθημα ἐπιδεικνῦσα σὺν βοῇ πρὸς αὐτὸν ἀν-
εφθέγγετο "οὕτω γένοιτο τοῖς σοῖς τέκνοις, ὦ βασιλεῦ, εἰ
μὴ τὸ αἷμα τοῦτο, ὅ σοι δείκνυμι, αὐτίκα ἐνδίκως τιμωρή-
σειας". τῶν δ' οὖν περὶ τὸν βασιλέα δορυφόρων ἐπιόντες 15
πλήττειν ἠπείγοντο· βασιλεὺς δὲ διεκώλυσε, καὶ τῇ γυναικὶ
μηκέτι τολμᾶν προσιέναι παρηγγύησεν, ἐπεξιέναι δὲ τὰ τῆς
δίκης ὑπηνίκα ἂν αὐτῷ δεδογμένα εἴῃ. ᾤχετο εὐθὺς μὴ
δίκης τυχὸν ὀλολύζον τὸ γύναιον. χρόνος δὲ διήρχετο, καὶ
δὴ ὁ τὸν φόνον ἐπιτρέψας, δεδιὼς καὶ αὖθις τὴν γυναῖκα 20
τοῦ ἀνῃρημένου εἵνεκεν βασιλεῖ ἐπικαλεῖν, ταύτῃ τοι εἰς Βυ-
ζάντιον εἴσεισι καὶ δὴ ἐς τὸ δημοτικὸν ἑαυτὸν ἐγκαταμίγνυσι.
fol. 187r καὶ ἱππικοῦ ἀγῶνος τελουμένου τοῦτον βασιλεὺς ἐν μέσοις δη-
μόταις κατιδὼν τῷ ὑπάρχῳ ἐπιτρέπει τῆς πόλεως φρουρᾷ καθ-
ειργνύναι τὸν ὕποπτον. εἶτα τὸ γύναιον μεταπέμπεται καὶ τὰ 25
10 B τῆς μιαιφονίας ἀσφαλέστερον ἀνηρεύνα. κελεύει τοίνυν τὸν
Βουτηλῖνον ὑπὸ τῶν παίδων τῶν αὐτοῦ ἴσην ὑποσχεῖν τῷ ἀν
ηρημένῳ τὴν τιμωρίαν, καὶ αὐτῆς ἐκείνης ὡσαύτως κτείνεσθαι.

1 τις — κομῶν B τις τῶν ἐκείνῃ π. κομώντων? 2 Βι-
τουλῖνος c 4 διωκειμένη c διακειμένη *vulg.* 7 οἵγε B
οἵδε c 8 ὕεων c *corr. vulg.* 9 ἄμφιον PC ἀμφί**νον c
10 ἥκετο c *corr.* B προιέντα c *corr. vulg.* 27 μετὰ B
28 καὶ ὑπ' αὐτῆς ἐκείνης B καὶ αὐτοὺς ἐκείνους?

Digitized by Google

Ἡράκλειος δὲ τὸν υἱὸν Ἡράκλειον, ταὐτὸν δὲ εἰπεῖν Κωνσταντῖνον (διώνυμος γὰρ ὢν ἐτύγχανεν), παρὰ τοῦ ἱεράρχου τῷ Θείῳ λουτρῷ καθαγνίσας ἀγκάλαις ⟨ἐκ⟩ τῆς ἱερᾶς κολυμβήθρας ἐδέξατο. αὐτίκα δὲ αὐτῷ τῆς βασιλείου ἀξίας a. 613
τὰ σύμβολα τἄλλά τε καὶ τὸ διάδημα περιθέμενος ἐταινίωσε καὶ βασιλέα ἀνεῖπε. τὴν θυγατέρα δὲ Γρηγορίαν τοὔνομα Νικήτα τοῦ τὴν ἀξίαν πατρικίου εἰς γαμετὴν κατηγγύησεν· οὗ δὴ καὶ ταύτῃ τῷ βασιλεῖ μειζόνως οἰκειωθέντος τὸν ἀνδριάντα κεχρυσωμένον καθύπερθε κιόνων ἔφιππον κατὰ τὴν τοῦ Φόρου λεγομένην ἀγορὰν ἀνέστησεν. καὶ οὕτω μὲν ταῦτα ἐπράττετο.

Χοσρόης δὲ ὁ Περσῶν βασιλεὺς στρατιὰν ὡς πλείστην ἀθροίσας ἐπὶ Ῥωμαίους ἐξέπεμψεν, ἡγεμόνα τῶν Περσικῶν Σάϊτον χειροτονήσας δυνάμεων. οὗτος ἐπὶ τὴν Ἀλεξάνδρου ἀφορμισθεὶς ταύτην ἀνὰ κράτος εἷλε καὶ τὴν ὅλην Αἴγυπτον ἡνδραπόδιζε καὶ τὴν ἑῴαν ἅπασαν μοῖραν κατεδῄου καὶ δοριαλώτους ὡς πλείστους ἦγε καὶ ἄλλους ἀνῄρει, οὐδεμιᾷ φειδοῖ εἰς αὐτοὺς χρώμενος. ταῦτα τοίνυν οὕτω διαθέμενος εἰς τὸ ἔπειτα πανστρατιᾷ κατὰ τὴν Χαλκηδόνος πόλιν ἦει καὶ περιεκάθητο ταύτην χρόνον ἐπὶ συχνόν, ἠξίου τε βασιλέα εἰς ὁμιλίαν οἱ λόγων ἱκέσθαι. καὶ δὴ βασιλεὺς εἰσήκουε καὶ ὡς αὐτὸν διεπεραιοῦτο, βασιλικῇ δορυφορίᾳ τε καὶ πομπῇ 11 B
χρώμενος. καὶ αὐτὸν ἰδὼν Σάϊτος ἐξανέστη τε τῆς καθέδρας καὶ πρὸς τοὔδαφος ἑαυτὸν ἀπορρίψας προσεκύνει· αὐτός τε ἐκ τοῦ ἀκατίου, ἐν ᾧ ἐπέπλει, τὸ χαῖρε αὐτῷ προσεφώνει καὶ δωρεαῖς ἠμείβετο. ὧδε πρὸς αὐτὸν Σάϊτος ἔλεξεν. "Ἔδει μέν, ὦ βασιλεῦ, τοὺς Ῥωμαίων τε καὶ Περσῶν βασι-

3 ἐκ *om.* c *cf.* p. 29, 27 *Theoph.* p. 268, 10; 698, 6 5 ἐτενίωσε cC *corr. vulg.* 7 Νικήτα τοῦ — πατρικίου P *coll.* p. 21, 22 Νικήτα τῷ — πατρικίῳ c 8 ταύτην c *corr. vulg.* 15 ἀφορμηθεὶς B ἐφορμισθεὶς? — *post* ταύτην c² *add.* τε 20 ἐπισυχνὸν c ἐπίσυχνον *vulg.* 21 οἱ *vulg.* οἵ *sequente litura duarum litterarum* c 26 ὧδε δὲ B 27 τοὺς *corr. ex* τῆς c¹

λέας μήτε διίστασθαι ταῖς γνώμαις μηδ' ὁπωστιοῦν ἀλλήλοις ἀντικαθίστασθαι, ἐς φιλίαν τε καὶ συμβάσεις ἰέναι ὡς προθυμότατα· (ὅπερ ἥδιστόν τε καὶ εὔχαρι ἀνθρώποις τοῖς πάλαι καὶ νῦν τυγχάνει ἅπασιν, ἅτε ζωῆς τε τῆς εὐκτέας καὶ εὐνομουμένης αἰτιώτατον·) καὶ τῷ περιόντι τῆς ἐξουσίας συμ- 5
fol. 187v παραμένειν καὶ τὸ τῆς συμβάσεως μέγεθος. καὶ γὰρ ἴσμεν ὡς ἥκιστα ταῖς ἐξουσίαις δὴ ταύταις ἐφάμιλλος πολιτεία φανείη ἂν πώποτε. οὐ γὰρ ὅσιον, παρὸν ἐπιφροσύνῃ καὶ εὐβουλίᾳ χρωμένους τὸ εὖνουν καὶ φίλιον εἰς ἀλλήλους κρατύνασθαι, ὅπλα κατ' ἀλλήλων αἴρεσθαι καὶ πημαίνειν οὐκ 10
ἐν δίκῃ καὶ κακοῦν τὸ ὑπήκοον. ἐξ ὧν τί συμβαίνει; εἰ μὲν τὸ ὁμόγνωμον καὶ εἰρηνικὸν θήσεσθε, εὐδαίμονά τε ἑκάτερον ὑμῶν τῶν ἄλλων ἀνθρώπων μᾶλλον ὑπάρξαι, ζηλωτούς τε καὶ ἀξιαγάστους ἐς τὸν ἅπαντα βίον δείκνυσθαι· εἴς τε τὸ ἄμοχθον καὶ εὔθυμον ὁ πόνος ὑμῖν καὶ ἡ φρον- 15
τὶς περιστήσεται. εἰ δ' αὖ γε ταυτὶ μεθιέμενοι καὶ ἡλίκον οἷον ἀγαθὸν τὴν εἰρήνην ἐκποδὼν ποιήσασθαι ἔλοισθε, καὶ οὐδὲν ὅτι ὀνησιφόρον λογίσασθαι ὑμῖν οἷσον, δυσμένειαν δὲ
12 B τὴν εἰς ἀλλήλους καὶ τὸ ἔχθιστον ἀνθηρημένοι, πολέμων μὲν ὡς πλείστων, ὅπερ ἀπηχὲς καὶ ἀπώμοτον, παραίτιοι 20
γενήσεσθε, ἰδρῶτάς τε καὶ πόνους ὡς τὸ εἰκὸς ἀνελέσθαι μεγίστους, πολλὰ δὲ σώματα προϊέμενοι δαπανήσετε χρημάτων τε ἀνάλωσιν ὡς πλείστην ποιήσεσθε· καὶ ἁπαξαπλῶς εἰς μέγα κακοῦ τὸ τοῦ πολέμου ὑμῖν πέρας ἥξει. οἷα δὴ καὶ νῦν ὁρᾶν ὑμῖν πάρεστιν, ἀφ' ὧν ἔγωγε εἰς τὴν Ῥω- 25
μαίων εἰσβαλὼν γῆν, τὰ δεινότατα εἶδε καὶ πέπονθεν. ἐντεῦθεν οὖν λελείψεται τὰ τῶν πολιτειῶν οἰκτρότατα καὶ ἀθλιώτατα διακείσεσθαι". ταῦτα διώμνυτο λέγων αὐτὸς καὶ

1 μηθ'? 4 εὐνομουμένης *ut vid.* C εὐγνωμουμένης c 7 δεῖ c *corr.* P 8 παρ' ὃν c *corr. vulg.* 13 ἑκατέρων c *corr. vulg.* 17 ἕλοισθε c² ἕλυσθε c ἑλέσθε *vulg.* ἑλεῖσθε B 18 δὲ] δὴ? 20 ἀπηνὲς P 21 ἀνελέσθε *vulg.* ἀνελεῖσθε B

Digitized by Google

ὡς ἐν σπουδῇ τίθεσθαι τὰς πολιτείας Ῥωμαίων τε καὶ Περσῶν εἰς τὸ τὰ συμβατήρια ἥκειν. ταῦτα ἐπιτελῆ ποιήσειν ὅγε ἐπήγγελτο, καὶ, ὡς τῶν ὁμωμοσμένων τὰ πιστὰ δοίη, προσέφερε, ὅτι γε δὴ ταῦτα καὶ Χοσρόῃ βουλομένῳ [αἱρετέα] εἴη. "εἴ τι οὖν μοι" φησὶ "πείθεσθαι ἔχοιτε, αὐτίκα δὴ μάλα τοὺς ὡς Χοσρόην πρεσβευσομένους τούτων ἕκατι ἅμα ἐμοὶ ἐκπέμποιτε, (πεισθείη δ' ἄν μοι καὶ αὐτός, εὖ οἶδα, εἰς τοῦτο γνώμης καθιστάμενος) σπείσεσθε μεθ' ὑμῶν καὶ τὴν εἰρήνην τὸ λοιπὸν εἰς τὸν ἅπαντα χρόνον βεβαίαν τε καὶ ἀκραιφνῆ καταστήσεσθε".

Βασιλεὺς δὲ Ἡράκλειος, ἐπεὶ τοῦτ' οὖν ἐπέπυστο, τῷ προσηνεῖ καὶ θελκτηρίῳ τῶν λόγων συνηδόμενός τε καὶ κατακηλούμενος, ὑπέσχετο εἰς ἅπαντα πράσσειν ἑτοιμότατά τε καὶ σπουδαιότατα. καὶ οἷς ἐβουλεύετο τούτων πέρι συνέπραττόν τε μάλιστα καὶ συνῄνουν ὁ ἱερομύστης τε καὶ οἱ ἐν τέλει. καὶ ὅτι τάχιστα οἱ διαπρεσβευσόμενοι ἐξελέγοντο, Ὀλύμπιος 13 B μὲν ὁ τὴν τῶν ὑπάρχων τῶν πραιτωρίων διέπων ἀξίαν, Λεόντιος δὲ ὁ τῆς πόλεως ὕπαρχος, Ἀναστάσιός τε ὁ τὴν οἰκονομίαν τοῦ μεγίστου ἱεροῦ, ᾧ Σοφία ὁ θεῖος λόγος ἐπώνυμον, τῶν πραγμάτων πεπιστευμένος. τούτους παραλαβὼν Σάϊτος καὶ ἅρας ἐκ Χαλκηδόνος ὀπίσω ἀπήλαυνε fol. 188r καὶ πρὸς τὰ Περσικὰ ἤθη ἐχώρει· καὶ ἕως μὲν τῆς Ῥωμαίων ἐπέβαινε γῆς, διὰ τιμῆς ἦγε καὶ θεραπείας ἠξίου, τῇ Περσικῇ δὲ ἐμβαλὼν πέδας τὰς ἐκ σιδήρων αὐτοῖς περιθέμενος δεσμώτας παρὰ Χοσρόην ἐκόμισε. Χοσρόης δὲ ἐπεὶ ἔγνω ὡς Σάϊτος Ἡράκλειον ὡς βασιλέα εἶδέ τε καὶ τετίμηκεν, ἀλλ' οὐ δοριάλωτον ἑλὼν ὡς αὐτὸν ἤγαγεν (ἐν τούτῳ γὰρ αὐτῷ τὰ τῆς ἐλπίδος ὠνειροπολεῖτο καὶ ἔκειτο), μεγάλα τε ἐπ' αὐτῷ ἠγανάκτει καὶ τέλος εἰς ἀσκὸν αὐτῷ ἀπέδειρε τὴν δορά, πικρὸν αὐτῷ καὶ βίαιον καταστήσας τὸν θάνατον. Ῥω-

2 ἐπὶ τέλει c *corr.* P 4 αἱρετέα *del.?* 5 πείθεσθε, ἔχοιτε. αὐτίκα c πείθεσθαι *scripsi cum* B — δὴ] δὲ B 19 ὃ c *corr. vulg.*

μαίων δὲ τοὺς πρεσβευτὰς ἰδίᾳ διαστείλας ὡς ἕκαστον φρουραῖς ἀσφαλεστάταις ἀπέθετο καὶ ἐκάκου τὰ μέγιστα.

Ταῦτα οὐ μικρῶς ἠνία τὸν βασιλέα καὶ ἐπετάραττεν. ἐφ' οἷς καὶ λιμὸς τηνικαῦτα τῇ πολιτείᾳ ἐπεφύη βαρύτατος· οὐ γὰρ ἡ Αἴγυπτος αὐτοῖς τὸ λοιπὸν ἐπεσίτιζεν, ἐξ οὗ καὶ τὰ πλεῖστα τῶν βασιλικῶν ἐπελελοίπει σιτηρεσίων. ἐν τούτοις καὶ νόσος λοιμώδης τοῖς ἐν τῇ πόλει ἐνσκήψασα θανάτῳ τὰ πλήθη τὰ ἐν αὐτῇ διέφθειρεν. ὧν ἁπάντων ἕνεκεν πολλὴ δυσθυμία καὶ ἀπορία τῷ κρατοῦντι περιεκέχυτο. καὶ οἴχε-
14 B σθαι διὰ ταῦτα πρὸς Λιβύην βουλομένῳ ἦν. καὶ αὐτόθι χρήματα τέως πλεῖστα χρυσόν τε καὶ ἄργυρον καὶ λίθων τοὺς τιμιωτάτους προύπεμπεν· ὧν οὐκ ὀλίγιστα καταίροντα κλύδωνι μεγίστῳ περιπεπτώκει καὶ τοῖς ποντικοῖς ῥείθροις βρύχια γέγονεν. ταῦτα τοίνυν τῶν πολιτῶν αἰσθόμενοι, ὡς δυνατὰ ἦν αὐτοῖς, διεκώλυον. ὁ γοῦν ἱεράρχης ἐπὶ τοῦ ἱεροῦ τοῦτον καλέσας ὅρκοις ἐνταῦθα περιεδέσμει ὡς ἥκιστα τῆς βασιλευούσης ἐξίστασθαι. οἷς εἴξας τὰς μὲν παρούσας τύχας ἀπωλοφύρετο, τὰς δὲ γνώμας τὰς αὐτῶν καὶ οὐκ ἐθελοντὴς ἔστεργε.

a. 619 Χρόνος δέ τις παρῴχετο, καὶ ὁ τῶν Οὔννων τοῦ ἔθνους κύριος τοῖς ἀμφ' αὐτὸν ἄρχουσι καὶ δορυφόροις ἅμα εἰς Βυζάντιον εἰσῄει, μυεῖσθαι δὲ τὰ Χριστιανῶν βασιλέα ἐξῄτει. ὁ δὲ ἀσμένως αὐτὸν ὑπεδέχετο, καὶ οἱ Ῥωμαίων ἄρχοντες τοὺς Οὐννικοὺς ἄρχοντας καὶ τὰς ἐκείνων γαμετὰς αἱ τούτων αὐτῶν τῷ θείῳ λουτρῷ ἐτεκνώσαντο σύζυγοι. οὕτω τε τὰ θεῖα μυηθεῖσι δώροις βασιλικοῖς καὶ ἀξιώμασιν ἐφιλοτιμήσατο· τῇ γὰρ ἀξίᾳ τοῦ πατρικίου τὸν ἡγεμόνα τοῦτον τετίμηκε καὶ πρὸς τὰ Οὐννικὰ ἤθη φιλοφρόνως ἐξέπεμπε.

a. 619 Μετὰ δὴ ταῦτα καὶ ὁ τῶν Ἀβάρων τοῦ ἔθνους ἡγεμὼν ἐπὶ συμβάσεσιν ὡς Ἡράκλειον ἐπικηρυκεύεται. ἐφ' ᾧ

10 *cf. Suidas s. v.* βρύχιος 24 τοὺς Οὐννικοὺς *corr. ex* τῆς Οὐννικῆς c 25 αὐτῶν] αὖ B 27 τούτων B

λίαν ὑπεραγάμενος δώροις αὐτὸν ἠμείβετο καὶ δὴ καὶ ἔπεμπεν ὡς αὐτὸν ἀγγελιαφόρους, Ἀθανάσιον τὸν πατρίκιον, εἶτα μετ' αὐτὸν καὶ Κοσμᾶν τὴν ἀξίαν ἣν δὴ κυαίστορα καλοῦσι, fol. 188ᵛ
τὰ τῆς βασιλέως γνώμης αὐτῷ ἀπεροῦντας. ὁ Ἄβαρος δὲ 15 B
τὰ πρὸς φιλίαν ὑποκρινόμενος αἰμύλα τε καὶ ἐπαγωγὰ πρὸς αὐτοὺς ἀποφθεγγόμενος ὑπήγετο, ὡς φίλος εἴη Ῥωμαίοις, καὶ ἥκειν ὡς βασιλέα ἐπὶ σπονδαῖς ἐπήγγελτο. οἳ δὴ καὶ ἀναξεύξαντες τὰ τῆς εὐνοίας ἐκείνου ἔνδηλα βασιλεῖ ἐποίουν. οἷς ἄγαν ὑπερηδόμενος βουλεύεται εἰς τὴν πόλιν Ἡράκλειαν, καθ' ἃ ἦν αὐτοῖς συγκείμενον, τῷ Ἀβάρῳ συμβαλεῖν. τὴν θυμελικὴν σκευὴν προύπεμπε, καὶ ἱππικὴν ἀγωνίαν ἐπὶ τῇ δοχῇ αὐτοῦ τελεῖν εὐτρέπιζε, στολήν τε αὐτῷ λαμπρὰν καὶ τοῖς συνομαρτοῦσιν ἐκόμιζεν. εἶτα κατὰ τὴν Σηλυμβρίαν πόλιν ἀφιγμένος ηὐλίζετο. τρισὶ δὲ ὕστερον ἡμέραις ὁ χάγανος σὺν πλήθει πολλῷ τῶν Ἀβάρων ἀμφὶ τὴν Ἡράκλειαν παρήει. ἀποδασμὸν δέ τινα τῶν οἱ ἑπομένων, οἳ ἄλκιμοί τε καὶ μαχιμώτατοι ἐτύγχανον, ἀπολεξάμενος, κατὰ τὰ ὑπερκείμενα τῶν μακρῶν λεγομένων τειχῶν λοχμώδη τε καὶ ἀμφιλαφῆ ἐκπέμψας, σκεδάννυσι κρύβδην κατὰ τῶν ἐκεῖ ὀρῶν χωρήσειν τὰ λάσια, ὡς ἂν κατὰ νώτου τοῦ βασιλέως γενόμενοι, αὐτόν τε μέσον καὶ τοὺς περὶ αὐτὸν ἀποληψόμενοι, σχοῖεν εὐχείρωτον. τούτους Ἡράκλειος αἰσθόμενος καὶ οὐ μετρίως τῷ παραλόγῳ καταπλαγείς, τὸ ἅλουργὸν ἀπαμφιέννυται ἔσθημα· οἰκτρὸν δέ τι καὶ πενιχρόν, ὡς ἂν ἰδιώτης τοῖς ἐντευξομένοις φαίνοιτο, περιβαλόμενος ἔνδυμα τόν τε στέφανον τὸν βασίλειον τῇ ὠλένῃ περιαψάμενος, ἀγεννῶς παραχρῆμα εἰς φυγὴν ἐτράπετο καὶ μόλις πρὸς τὸ Βυζάντιον διεσώζετο. οἱ δὲ Ἄβαροι σὺν θυμῷ κατὰ τὴν δίωξιν ἐπετίθεντο, καὶ πρὸς τὸ πεδίον τὸ πρὸ τῆς πόλεως ὃ Ἔβδο-

4 ἀπαιροῦντας c 6 ὑπείγετο c *corr. vulg.* 10 τὴν οὖν θυμ. B 13 Σιλυμβρίαν c *corr. vulg.* 14 χαγᾶνος c *corr. vulg.* 22 τούτου P *cf.* p. 32, 10 23 καταπλαγὲν c *corr.* c² 26 περιαψάμενος ἀγεννῶς, παραχρῆμα c *corr. vulg.*

Digitized by Google

16 B μον καλοῦσι καταλαβόντες ἱδρύσαντο. ἐνθένδε τε σκεδάννυνται ἄχρι καὶ εἰς τὴν τοῦ Βαρβύσσου ποταμοῦ γέφυραν καὶ τὰ τῇδε χωρία πικρῶς κατεληΐζοντο καὶ τὸν Ῥωμαίων ὅμιλον ἀφειδῶς ἐκπεράϊζον, τήν τε βασιλικὴν ἐσθῆτα καὶ τὰς στολὰς παραλαμβάνουσι, πρὸς δὲ καὶ τὰ θυμελικὰ ὄργανα καὶ τοὺς διακομίζοντας ἅπαντας. πλεῖστον δὲ ὅσον λαὸν ἀνδραποδισάμενοι δοριάλωτον ἄγοντες πρὸς τῇ σφετέρᾳ ἀπεκόμισαν· εἰς ἑβδομήκοντα δὲ καὶ διακοσίας χιλιάδας ἀνδρῶν τε καὶ γυναικῶν, καθάπερ ἔνιοι τῶν ἁλόντων διαδράντες ἀλλήλοις συνῳδὰ ἔφασαν, ὁ ἀριθμὸς αὐτοῖς ἅπας συνήνεκτο.

Ἡρακλείῳ δέ, καίτοι τῶν κοινῶν αὐτῷ πραγμάτων ἐπὶ τοσοῦτο δυσχερείας καὶ ἀνωμαλίας ἡκόντων, οὐ μὴν οὐδὲ τὰ οἰκεῖα εὖ θέσθαι φροντὶς ἐγεγόνει, ἀλλ' ὅγε πρὸς πρᾶξιν
a. 613 ἄθεσμον καὶ ἣν Ῥωμαίων ἀπαγορεύουσι νόμοι ἰδών, τὸ
fol. 189r πρὸς τὴν ἀνεψιὰν Μαρτῖναν ἠσπάσατο κῆδος. θυγάτηρ αὕτη Μαρίας τῆς αὐτοῦ ἐτύγχανεν ἀδελφῆς, πατρὸς δὲ Μαρτίνου, ὃν Μαρία πρὸ Εὐτροπίου γαμέτην ἐκέκτητο. καὶ δὴ δύο υἱεῖς ἐξ αὐτῆς τίκτει, ὧν τὸν μὲν Φλάνιον τὸν δὲ Θεοδόσιον προσηγόρευσεν. ἡ δίκη δὲ ἐθριάμβευε τὸ ἀθέμιτον, καὶ τοῦ μὲν πρεσβυτέρου παρειμένον ἐδείκνυ τὸν αὐχένα ὡς μηδ' ἑτέρωθι ἐπιστρέφεσθαι οἷόν τε εἶναι, τοῦ δ' αὖ νεωτέρου τὴν ἀκουστικὴν ἀφῄρητο αἴσθησιν καὶ κωφὸν ἤδη ἀπέφαινε. διήλεγχον δὲ αὐτοῦ μάλιστα τὸ ἄσεμνον συνοικέσιον ἐπὶ ταῖς ἱππικαῖς ἀμίλλαις καὶ οἱ τοῦ πρασίου δημόται χρώματος, † συνήνουν τε ἐπὶ ταύτῃ καὶ συνέπραττον.

17 B Σέργιος δὲ ὁ τῶν Βυζαντίων ἱεράρχης γράμμασιν αὐτὸν λιπαρῶς ἐγκείμενος ἐνουθέτει τὴν πρὸς τὸ γύναιον τοῦτο κοινωνίαν ἀνήνασθαι. ὁ δὲ αὐτῷ ἀπελογεῖτο ὡς "εὖ μὲν ἔχει τὰ παρὰ σοὶ λεγόμενα· ὁ γάρ σοι χρέος ὡς ἀρχιερεῖ

8 δὲ] γὰρ B. — χιλιάδας ἑβδομήκοντα *Ham.* 15 θυγάτηρ γὰρ αὕτη c² 17 γαμετὴν c *corr. vulg.* 18 υἱεῖς c *corr. vulg.* — ὃν c *corr. vulg.* 25 ἐπὶ ταύτῃ] „οἱ ἐνετοί fortassis" P 29 ἔχει B ἔχοι c

καὶ φίλῳ, ἤδη ἀποδέδωκας· ἐφ' ἡμῖν δὲ τὸ λοιπὸν κείσεται τὰ τῆς πράξεως". κατὰ δὲ τὸν αὐτὸν καιρὸν διεπιπράσκοντο τὰ τῶν ἐκκλησιῶν κειμήλια καὶ εἰς ὑπαγωγὴν φόρων τοῖς βαρβάροις ἐξενεμήθη.

Ἀΰθις οὖν ἐπιστρατεύει Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς κατὰ Ῥωμαίων, Σάρβαρον ἡγούμενον τῆς στρατιᾶς ἐκπέμψας, ὃς κατεδήου πᾶσαν τὴν ἀνατολικὴν χώραν. καταλαμβάνει δὲ τῶν ἁγίων τόπων τὰ ζωοποιὰ ξύλα τοῦ σωτηρίου σταυροῦ, Μωδέστου τηνικαῦτα Ἱεροσολύμων προεδρεύοντος. παρεσκευάζοντο δὲ οἱ Πέρσαι καὶ ἠπείγοντο [μέχρις] ἐλθεῖν εἰς Χαλκηδόνα. ὁ οὖν Ἡράκλειος ἔκ τε Περσῶν καὶ Ἀβά- a. 622
ρων θορυβούμενος ἅμα καὶ λιμῷ πιεζομένης τῆς Ῥωμαϊκῆς πολιτείας καὶ λοιμικῷ θανάτῳ φθειρομένης, προσεκαλεῖτο Σέργιόν τε τὸν τῆς πόλεως πρόεδρον, ἔτι τε καὶ ἄρχοντας καὶ τὸ λοιπὸν τοῦ λαοῦ μέρος, ⟨καὶ⟩ παρατίθεται αὐτοῖς τοὺς παῖδας, καὶ Βῶνον τὸν πατρίκιον ἐγχειρίζει τὰς τῶν πραγμάτων διοικήσεις, καὶ ἀπάρας διὰ τοῦ Εὐξείνου ἐπειρᾶτο διὰ Λαζικῆς εἰς τὴν Περσικὴν εἰσβαλεῖν· καθ' ἣν τίκτεται αὐτῷ υἱὸς ἐκ Μαρτίνης τῆς γυναικός (μεθ' ἑαυτοῦ γὰρ ταύτην ἦγετο), ὃν καὶ ἐπωνόμασεν Ἡράκλειον. ἐντεῦθεν ἀποστέλλει δῶρα πρὸς τὸν Τούρκων κύριον, ἐπὶ συμμαχίᾳ τῇ κατὰ Περσῶν συγκαλούμενος· ὁ δὲ δεξάμενος ὑπέσχετο συμμαχήσειν. ἐν τούτῳ ἠσθεὶς Ἡράκλειος ὥρμησε καὶ αὐ- 18 B
τὸς πρὸς αὐτόν, κἀκεῖνος τὴν τοῦ βασιλέως παρουσίαν ἀκηκοὼς σὺν πλήθει Τούρκων πολλῷ τῷ βασιλεῖ ὑπηντίαζε, καὶ ἀποβὰς τοῦ ἵππου τῷ βασιλεῖ κατὰ γῆς προσκυνεῖ. ἐποίει δὲ τοῦτο καὶ ὁ σὺν αὐτῷ πᾶς ὄχλος. ὁ δὲ βασιλεὺς τὸ ὑπερβάλλον τῆς τιμῆς θεασάμενος ἐδήλου αὐτῷ ὡς εἰ τὰ fol. 189ᵛ

4 φόρον c 7 κατεδίου c *corr. vulg.* 10 ἠπείγοντο *vulg.* ὑπείγοντο c — ἐλθεῖν μέχρις B μέχρις *del.?* 12 λιμῷ] μ *in lit. m.* 2 14 ἔτι δὲ καὶ τοὺς ἄρχοντας B 15 καὶ *ante* παρατίθεται *om.* c *add.* B 23 ἐπὶ B *sed cf.* p. 27, 1; 73, 25 25 πολλῷ] πολλῶν c. *cf.* p. 13, 15 28 ὡσεὶ c *corr. vulg.*

Digitized by Google

τῆς φιλίας αὐτῷ βέβαια εἴη, καὶ ἐποχούμενον πλησιάζειν, καὶ ἅμα τέκνον ἴδιον ἀποκαλῶν. οὕτως οὖν οὗτος ἀσπάζεται τῷ βασιλεῖ. ὁ δὲ ὃν περιέκειτο στέφανον τῆς κεφαλῆς λαβὼν τῇ τοῦ Τούρκου κεφαλῇ περιέθετο, συμποσιάσας τε αὐτῷ πάντα τὰ εἰς ὑπηρεσίαν τοῦ συμποσίου σκεύη ἅμα καὶ στολῇ βασιλικῇ καὶ ἐνωτίοις ἐκ μαργάρων κεκοσμημένοις δωρεῖται αὐτῷ. ὡσαύτως δὲ καὶ τοὺς περὶ αὐτὸν ἄρχοντας τοῖς ὁμοίοις ἐνωτίοις αὐτοχειρίᾳ ἐκόσμει. εἶτα δεδιὼς μὴ τὰ αὐτὰ τῷ Ἀβάρῳ καὶ παρ' ἐκείνου πείσεται, ἐπικρατέστερα δ' αὐτῷ καὶ τὰ τῆς συμβάσεως ἀπεργάζεται, παραδείκνυσιν αὐτῷ τῆς Θυγατρὸς Εὐδοκίας εἰκόνα ἔφη τε πρὸς αὐτὸν ὡς "ἤνωσεν ἡμᾶς ὁ Θεός, σὲ τέκνον ἐμὸν ἀπέδειξεν. ἰδοὺ δὴ αὕτη Θυγάτηρ μού ἐστι καὶ Ῥωμαίων Αὐγούστα. εἰ οὖν συναίρεις μοι καὶ βοηθεῖς κατὰ τῶν ἐχθρῶν, εἰς γυναῖκα δίδωμί σοι αὐτήν". ὁ δὲ τῷ κάλλει τῆς εἰκόνος καὶ τῷ περὶ αὐτὴν κόσμῳ τρωθεὶς ἔρωτι τοῦ ἀρχετύπου ἔτι μᾶλλον ἐπὶ τῇ συμμαχίᾳ ἐπέκειτο. εὐθὺς οὖν ἄρχοντα καὶ πλῆθος
19 B Τούρκων τῷ βασιλεῖ παραδίδωσι· σὺν αὐτοῖς τε εἰς τὴν Περσικὴν εἰσβαλὼν τάς τε πόλεις καθῄρει καὶ τὰ πυρεῖα διέστρεφεν. ἐφ' ἑνὸς δὲ τούτων εὕρηται, ὡς Χοσρόης ἑαυτὸν Θεοποιήσας ἐν τῇ τούτου στέγῃ ἑαυτὸν καθήμενον ὡς ἐν οὐρανῷ ἀνεστήλωσεν, ἀστραπὰς καὶ ἥλιον καὶ σελήνην συγκατασκευάσας, ἀγγέλους περιεστῶτας αὐτῷ, καὶ βροντὴν διὰ μηχανῆς ποιεῖν καὶ ὕειν ὁπότ' ἂν θελήσειεν. τοῦτο τὸ βδέλυγμα θεασάμενος Ἡράκλειος εἰς γῆν κατέρριψε καὶ ὡς κονιορτὸν διέλυσε. Χοσρόης τοίνυν ἀκούσας τά τε ἄλλα

2 ἅμα καὶ? an καὶ del.? 6 στολὴν βασιλικὴν c corr. P 7 αὐτὸν Suid. s. v. ἐνώτια. — τοὺς — ἄρχοντας P τοῖς — ἄρχουσι c τοῖς — ἄρχουσι, οὓς? 9 Ἀβάρῳ] Α. m. 2 in lit. ex βαρ sive σαρ recte. — παρ' ἐκείνω c corr. vulg. πήσεται c corr. vulg. 10 ἀπεργάσεται B ἀπεργάζηται? 16 τρωθεὶς c' τρωθὲν c 19 cf. Suid. s. v. πυρεῖον 20 ὡς ante Χοσρόης eras. in c restitui 11 τούτου] τοῦ οἴκου Ham. 22 ἀστραπὰς] ἄστρα Ham. 23 αὐτῷ 2κηπτούχους καὶ Ham. 25 ὡς] εἰς P sed ὡς etiam Ham.

Digitized by Google

πάντα καὶ ὡς Τοῦρκοι συμμαχοῦσιν Ἡρακλείῳ, δῆλα ἐποίει πάντα διὰ γραφῆς τῷ Σαρβάρῳ, καὶ ὡς ταχέως πρὸς αὐτὸν ἐκ τῆς Ῥωμαϊκῆς ἀναζευγνύναι καὶ Ἡράκλειον ἀμύνασθαι· μηδὲ γὰρ δύνασθαι τῷ πλήθει τῷ ἐκείνου ἀντικαθίστασθαι. τὸ δὲ γράμμα περιτραπὲν Ἡρακλείῳ ἐγχειρίζεται. ὁ δὲ τοῦτο ἀναγνοὺς ταῦτα μὲν ἐξηφάνισεν, ἑτέραν δὲ γραφὴν ὡς ἀπὸ Χοσρόου σκηψάμενος τῷ Σαρβάρῳ ἐκτίθεται, τῇ ἐκείνου σφραγῖδι σημηνάμενος, ἔχουσαν οὕτως "ὁ Καῖσαρ Ῥωμαίων φιλίαν μετὰ Τούρκων ἐσπείσατο καὶ εἰσῆλθε μέχρι τοῦ Ἀδορβαδιγάνου καλουμένου τόπου, καὶ ὅτι πέμψας στρατιὰν κατ' αὐτοῦ αὐτόν τε καὶ τοὺς Τούρκους διώλεσα, οἱ δὲ περιλειφθέντες ἔφυγον. μὴ οὖν ἀπάρῃς ἐκ τῆς Ῥωμαίων γῆς, ἀλλὰ τῇ Χαλκηδόνι προσέδρευε, Ῥωμαίους fol. 190r αἰχμαλωτεύων καὶ ληϊζόμενος". καὶ Σάρβαρος μὲν τὸ γράμμα δεξάμενος τῆς προσεδρίας εἴχετο.

Οἱ δὲ Ἄβαροι ἐπεὶ τὰς σπονδὰς διέλυσαν (καὶ γὰρ 20 B Ἡράκλειος πρὶν Πέρσας ἐκστρατεῦσαι δώροις πρὸς αὐτοὺς a. 626 ταύτας ἐβεβαίου, ὑποσχόμενος παρέχειν αὐτοῖς νομισμάτων μυριάδας εἴκοσιν, ὁμήρους αὐτοῖς δεδωκὼς ἕνα τῶν υἱῶν Ἰωάννην τοὔνομα, ὃν δὴ καὶ Ἀταλάριχον ἐκάλεσε, νόθος δὲ ἦν αὐτῷ ἐκ παλλακῆς, καὶ Στέφανον ἀνεψιὸν αὐτοῦ, υἱὸν Μαρίας τῆς ἀδελφῆς αὐτοῦ καὶ Εὐτροπίου, ἔτι δὲ καὶ Ἰωάννην ἕτερον, υἱὸν Βώνου τοῦ πατρικίου, καὶ αὐτὸν ἐκ παλλακῆς αὐτῷ γεγονότα), καὶ αὐτοὶ ἐκστρατεύοντες τῷ τείχει τοῦ Βυζαντίου πελάζουσιν, εὐθύς τε πάντα ἐνεπίπρων τὰ προάστεια. καὶ ὥσπερ ἀναμερισάμενοι ἑκάτεροι τὸν Θρᾳκικὸν Βόσπορον Πέρσαι μὲν τὰ τῆς Ἀσιάτιδος μοίρας καθῆρουν, Ἄβαροι δὲ τὸν ἐπὶ Θρᾴκης διέφθειρον χῶρον. ἀλλή-

7 σκεψάμενος c *corr. vulg.* ἐντίθεται B 8 *Καίσαρ* c 15 προεδρίας c *corr. vulg.* 17 Πέρσαις? *an* πρὸς Πέρσας? 22 Εὐτροπίου P Εὐτρόπιον c 24 αὐτοῖ *lit. ex* αὐτοῖς c 25 προσπελάζουσι *Ham.* — ἐνεπύριζον *Ham.* 26 ἑκάτεροι *vulg.* ἑκάτερος c 27 Βοόσπορον *fortasse* C. — τὰ c *Ham.* τὰς $c^2$ τοὺς *vulg.* Ἀσιάτιδος *vulg. Ham.* Ἀσίτιδος c



Digitized by Google

λοις τε λόγοις οἱ Ἄβαροι συνετίθεντο συμφωνήσαντες ἐλεῖν τὸ Βυζάντιον. οἱ οὖν Ἄβαροι μηχανήματα τειχομάχα ἐτέκταινον· πύργοι δὲ ἦσαν ξύλινοι καὶ χελῶναι τὰ κατασκευάσματα. καὶ ἐπεὶ προσήεσαν τῷ τείχει τὰ ὄργανα, θεία δύναμις ἐξαπιναίως ταῦτα διέλυσε καὶ τοὺς ἐν αὐτοῖς τῶν Ἀβάρων μαχητὰς διώλεσεν. ἐπειδὴ δὲ καὶ Σκλαβηνὰ πλήθη οἱ Ἄβαροι ἐπεφέροντο καὶ εἰς συμμαχίαν ἐχρῶντο, δεδώκεσαν δὲ αὐτοῖς σημεῖον ὡς ἡνίκα ἂν ἴδοιεν πυρσοὺς ἀναφθέντας εἰς τὸ Βλαχερνῶν προτείχισμα, τὸ καλούμενον Πτερόν, εὐθὺς ἅμα τοῖς μονοξύλοις ἀκατίοις κἀκεῖνοι ἐπεξίοιεν, ὡς πλοΐμῳ ἀναφανέντες τὴν πόλιν κραταιῶς θορυβήσωσιν αὐτοί τε ἀδείας λαβόμενοι ἐκ τῶν τειχῶν ἀνατρέχοντες ἐντὸς τῆς πόλεως γένωνται. δῆλα οὖν ταῦτα Βώνῳ τῷ πατρικίῳ ἐγέ-
21 B νοντο, καὶ αὐτὸς διήρεις μὲν καὶ τριήρεις ἁρμόσας, εἰς τὸν χῶρον ἐν ᾧ τὸ σημεῖον ἐδέδοτο καθοπλίσας προσώρμισεν, ὡσαύτως καὶ πρὸς τὴν ἀντιπέρα ἀκτὴν τὰς διήρεις ἐπέλασεν διαφρυκτωρεῖσθαί τε εὐθέως ἐπέτρεψεν. ὅπερ δὴ οἱ Σκλάβοι θεασάμενοι ἐκ τοῦ ποταμοῦ τοῦ καλουμένου Βαρβύσσου ἀφώρμων καὶ κατὰ τῆς πόλεως ἦσαν. αἱ δὲ ἐπεκδραμοῦσαι καὶ εἰς μέσον αὐτοὺς ἀπολαβοῦσαι ἐκ τοῦ εὐθέως ἔκτεινον, καὶ αἵματι πολλῷ τὸ θαλάσσιον ὕδωρ ἐφοινίσσετο. ἐν τοῖς πτώμασιν οὖν τῶν ἀναιρεθέντων καὶ γυναῖκες Σκλαβηναὶ κατεφαίνοντο. ἀλλὰ ταῦτα οἱ βάρβαροι θεασάμενοι καὶ τῆς προσεδρίας ἀπειπόντες πρὸς τὴν αὐτῶν ἀνεζεύγνυον. ὁ δὲ ἀρχιερεὺς τῆς πόλεως σὺν Κωνσταντίνῳ τῷ βασιλεῖ εὐχαρι-
fol. 190ᵛ στηρίους λιτὰς τῷ Θεῷ προσέφερον ἐν τῷ ναῷ τῆς Θεομήτορος τῷ ἐν Βλαχέρναις ἱδρυμένῳ ἀφικόμενοι· τεῖχος εὐθὺς

1 οἱ Ἄβαροι] οἱ βάρβαροι? an οἱ Ἄβαροί τε καὶ ὁ Σάρβαρος? cf. ad Codin de off. p. 322 ed. Bonn. sub fin. 2 τειχομάχια c corr. vulg. 10 ἀναφανέντες vulg. ἀναφανέντος c 11 Θορυβήσωσιν] Θορυβήσουσιν c 15 προσώρμησεν c corr. B 16 ἀκτῖν c corr. vulg. 20 εἰς μέσον vulg. εἰς μέσους c μέσους (om. εἰς)? 23 ἄρβαροι c² eras β 24 αὐτῶν c corr. vulg. 27 καὶ τεῖχος B

δωμησάμενοι τοῦ ἱεροῦ ἐκείνου ναοῦ φρούριον κατέστησαν. καὶ τὰ μὲν Ἀβάρων οὕτω πη ἔσχε.

Μαθὼν δὲ Χοσρόης Ἡράκλειον πλησιάσαντα τοῖς βασι- a. 627
λείοις Περσῶν ἐκπέμπει κατ' αὐτοῦ στρατηγόν τινα Ῥιζάτην ὄνομα, γενναῖον ὄντα καὶ ἔμπειρον τὰ πολέμια. οὗτος ἐλθὼν τῷ βασιλεῖ παρατάσσεται, καὶ τῆς οἰκείας ἀφορμῶν φάλαγγος μόνος πρὸς μόνῳ προυκαλεῖτο διαμάχεσθαι. Ἡράκλειος δὲ ἐπεὶ οὐδένα τοῦ οἰκείου στρατοῦ προθυμούμενον ἐπεγίνωσκεν, αὐτὸς ἐξῄει κατὰ τοῦ βαρβάρου. ὁ δὲ ὡς τὴν τοξικὴν ἔμπειρος ὀϊστὸν ἠφίει καὶ ἄκρων χειλέων τοῦ βασι- 22 B
λέως καθήπτετο· εἶτα καὶ ἄλλον ὀϊστὸν ἐξέπεμψε καὶ τὸ σφυρὸν τοῦ ποδὸς ἐπέξυσεν. αὐτὸς δὲ Ἡράκλειος τῷ ἵππῳ ἐπῄει, καί τις τῶν αὐτοῦ δορυφόρων προφθάσας τὸν ὦμον Ῥιζάτου ξίφει ἀπέτεμε, καὶ αὐτὸν πεσόντα ὁ βασιλεὺς κατηκόντισε καὶ εὐθὺς τὴν τούτου κεφαλὴν ἀπέτεμεν. ἐπὶ δὲ τῇ νίκῃ ταύτῃ προθυμίας ὁ τῶν Ῥωμαίων στρατὸς πλησθείς, αἰσθόμενος τὴν τοῦ βασιλέως παρρησίαν, κατὰ Περσῶν ἐχώρουν συντονώτατα, καὶ ἀνὰ κράτος ἡττηθέντας ἐδίωκον καὶ πλῆθος αὐτῶν πολὺ ἀπέκτειναν.

Οἱ δὲ Περσῶν ἄρχοντες ἐπεὶ διεγνώκεσαν ὡς ὁ τῶν a. 628
Ῥωμαίων βασιλεὺς ὑπὲρ τῆς ἑαυτοῦ πολιτείας τῆς οἰκείας ζωῆς κατεφρόνησε, μετὰ Σειρόου τοῦ υἱοῦ Χοσρόου βουλεύονται Χοσρόην ἀνελεῖν, μέγα περὶ τῆς οἰκείας πολιτείας καταφρονήσαντα. τοῦτον οὖν ἐφ' ἑνὶ τῶν βασιλικῶν οἴκων κατέκλεισαν, καὶ τροφὴν οὐκ ἐδίδοσαν, προύθηκαν δὲ χρυσὸν καὶ ἄργυρον καὶ λίθον πλεῖστον λέγοντες "τούτων ἀπόλαυε οἷς κατεμάνης καὶ ἅπερ ἠγάπησας καὶ συνήγαγες". καὶ οὕτω λιμώττοντα ἐπελθόντες ἀνεῖλον, Σειρόην δὲ τὸν

4 Ῥιζάτην] Ῥαζάτην *Theoph. Theophyl. Simocatta* 5 γενναῖόντα c *corr.* c² 7 πρὸς μόνον P 11 τὸ B τὸν c 12 σφῦρον c² 15 ἐπεὶ c *corr. vulg.* 23 περὶ ἑαυτοῦ φρονήσαντα καὶ τῆς οἰκείας *mg. m.* 2. ἀνελεῖν τὸν ὑπὲρ ἑαυτοῦ τῆς B περὶ *del.?* 24 ἐφ'] ἐν B 25 τροφὴν c² *ex* τροφῆς

τούτου υἱὸν βασιλέα Περσῶν ἀνηγόρευσαν· ὃς εὐθὺς πρὸς Ἡράκλειον διαπρεσβεύεται δῶρά τε ἐξέπεμψεν ὡς σπείσεσθαι αὐτῷ. γράφει δὲ πρὸς αὐτὸν ἑνοῦσθαί τε ἀλλήλαις τὰς ὑπ' αὐτοὺς πολιτείας καὶ εἰρήνην παρὰ θεοῦ ἀσπάζεσθαι, ὡς ἑκάστην καθ' ἑαυτὴν ἡσυχάζειν. ᾧ ἀντέγραφε
23 B καὶ Ἡράκλειος, τέκνον τὸν Σειρόην καλῶν, καὶ ὡς οὐκ ἦν αὐτῷ ποτε κατὰ γνώμην βασιλέα τῆς ἑαυτοῦ δόξης ἐκπεπτωκέναι· διὸ οὐδὲ Χοσρόην. "ἀλλ' εἰ καὶ πλεῖστα καὶ κάκιστα Ῥωμαίοις καὶ Πέρσαις ἐπέδειξεν, ἔσπευσα ἄν", ἔφασκε, "περισωθέντα, εἰ καὶ τὰ μάλιστα ἐπικρατέστερος ἐγενόμην, εἰς τὴν αὐτοῦ ἀποκαθιστᾶν βασιλείαν. θεὸς δὲ τὴν ἐκείνου πρόθεσιν ἐγνωκὼς μετῆλθεν αὐτῷ ἀξίαν τὴν δίκην, ὡς μὴ
fol. 191r τῶν πολλῶν γενέσθαι κατάλυσιν, ἡμῖν νῦν τὴν ἕνωσιν παρασχόμενος". περί τε τῶν ζωοποιῶν ξύλων ὧν εἶλε Σάρβαρος ἐξ Ἱεροσολύμων λιπαρῶς ἐπέκειτο ἐπιζητῶν· (ὁ δὲ ὑπέσχετο δώσειν, εἴπερ αὐτῷ κατάφωρα γένοιτο·) περί τε τῶν πρεσβευτῶν οὓς Σάϊτος πρὸς Χοσρόην ἀπήγαγε δόλῳ, ὡς Λεόντιος μὲν κοινῷ θανάτῳ ἐτελεύτα, τοὺς δὲ ἄλλους Χοσρόης ξύλοις ἔκτεινεν, αἰσθόμενος αὐτὸν Ἡράκλειον εἰς τὴν Περσικὴν εἰσβαλόντα.

Εὐθὺς οὖν Σειρόης ἐτελεύτα, κρατεῖ δὲ τῆς βασιλείας Περσῶν Καβόης, ὅστις μετ' οὐ πολὺ τέθνηκε. μεθ' ὃν βασιλεύει Περσῶν Ὁρμίσδας, ὃς καὶ αὐτὸς διαπρεσβεύεται πρὸς Ἡράκλειον, τόν τε ἴδιον υἱὸν σὺν χρήμασι καὶ δώροις πολυτιμήτοις πρὸς αὐτὸν ἀπέστειλεν. ἐσήμαινε δὲ διὰ γραμμάτων τάδε "ὃν τρόπον λέγετε τὸν θεὸν ὑμῶν δοθῆναι γηραιῷ τινι ἀνθρώπῳ Συμεὼν εἰς τὰς ἀγκάλας, οὕτως καὶ τὸν δοῦλόν σου τὸν υἱόν μου δίδωμι εἰς τὰς χεῖράς σου.

2 σπείσασθαι P 4 ὑπ' αὐτοὺς c² ὑπ' αὐτοῦ c ὑπ' αὐτῶν vulg. 5 ἡσυχάζειν] ἐφ' m. 2 sprscr. 12 μετῆλθεν αὐτὸν ἀξίᾳ τῇ δίκῃ? cf. p. 4, 10 13 πολλῶν] πολιτειῶν B 17 ὡς] ὧν? 22 ὅστις c² εἴτις c cf. praef. μετ' οὐ πολύ vulg. οὐ μετ' οὐ πολύ c οὐ μετὰ πολὺ? ὃν c² ex ὧν 27 Συμεῶν c

Digitized by Google

γνοίη δὲ θεὸς ὃν σέβῃ, ὡς ποιήσεις αὐτῷ". ὁ δὲ δεξάμε- 24 B
νος μεγάλως ἐτίμησε, καὶ εἶτα τελευτήσαντος Ὁρμίσδου βασιλέα Περσῶν ἐτίμησε.

Σάρβαρος δὲ ἀκούσας ὅτι Χοσρόης καὶ Σειρόης, Κα-
βάης καὶ Ὁρμίσδας ἐτελεύτησαν, ἐκ τῆς Ῥωμαίων ὑπενόστει χώρας γράφει τε ἀπολογίαν πρὸς Ἡράκλειον, ὡς οὐχ ἑκὼν ἀλλὰ γνώμῃ τοῦ ἀποστείλαντος ἔπραττεν ἅπερ εἰς Ῥωμαίους πεποίηκε, παραγενέσθαι δὲ αὐτὸν ἐξήτησε καὶ ὡς δοῦλον παρίστασθαι. λόγοις τε πίστεως παρὰ βασιλέως βεβαιωθεὶς ἥκειν πρὸς αὐτὸν καὶ χρήματα ἐκ Περσίδος διδόναι ὑπισχνεῖτο, δι' ὧν πάλιν καινίζοιντο ὅσα ἂν αὐτὸς ἐν χώρᾳ τῇ Ῥωμαίων κατεστρέψατο. ἐν τούτοις ἐπιβουλεύεται καὶ ἀναιρεῖται ὁ υἱὸς Ὁρμίσδου, καὶ Σάρβαρος παρὰ βασιλεῖ τὴν Περσῶν ἀρχὴν ἐξαιτεῖ. ὁ δὲ ἐδίδου, καὶ ἀλλήλοις συνετίθεντο πάντα τὰ ἐκ Ῥωμαίων ὑπὸ Πέρσαις γενόμενα Ῥωμαίοις ἀνασώζεσθαι. εἰρήνης τε βραβευθείσης εὐθὺς τήν τε Αἴγυπτον καὶ πᾶσαν τὴν ἀνατολικὴν γῆν Ῥωμαίοις ἀποδίδωσι Σάρβαρος, τοὺς ἐκεῖσε Πέρσας ἐξελών, τά τε ζῳοποιὰ ξύλα πρὸς βασιλέα στέλλει. Ἡράκλειος δὲ Νικήταν υἱὸν Σαρβάρου πατρικίου ἀξίᾳ ἐτίμησε Νίκην τε τὴν θυγατέρα αὐτοῦ Θεοδοσίῳ τῷ ἐκ Μαρτίνης υἱῷ αὐτοῦ γαμετὴν πεποίηκε. Γρηγορίαν τε τὴν θυγατέρα Νικήτα ἐκ Πενταπόλεως ἐνέγκας Κωνσταντίνῳ τῷ βασιλεῖ Ῥωμαίων ζεύγνυσιν· ἣν δὴ καὶ προμνηστευσάμενος ἦν περιόντος ἔτι τοῦ αὐτῆς πατρός.

Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν ἐκ τοῦ Αἰθρίβου λεγομένου 25 B
Σαρακηνοὶ διεφαίνοντο (χώρα δὲ τοῦτο τῆς εὐδαίμονος Ἀραβίας) καὶ τὰ ἐκεῖσε χωρία προσπελάζοντα ληΐζεσθαι ἐπεχείρουν. Ἡράκλειος δὲ τὴν θυγατέρα Εὐδοκίαν τοῦ Βυζαντίου ἐξιέναι ἐπέτρεψεν ὡς τῷ Τούρκῳ ταύτην κατεγγυήσας· καὶ

3 ἐποίησε P 9 βεβαιωθεὶς c² ex βεβαιωθὲν ut vid.
10 ὑπισχεῖτο c corr. vulg. 19 Νικήτα υἱὸν πατρικίου ἀξ. ἔτ. P
20 αὐτοῦ] — τοῦ in lit. m. 2 22 Πενταπόλεως c² ex Πεντάπολιν ut videtur 29 κατεγγυῆσαι c corr. vulg.

Digitized by Google

ἐπειδὴ ἔγνωστο ὅτι σφαγῇ ὁ Τοῦρκος ἀνῄρητο, ταύτην
fol. 191ᵛ ὑποστρέφειν ἐκέλευεν. ὑπάρχοντι δὲ Ἡρακλείῳ ἐν τῇ Περ-
a. 629 σικῇ ἐτελεύτησαν αὐτῷ δύο υἱοὶ καὶ θυγατέρες δύο. αὐτὸς
δὲ λαβὼν τὰ ζῳοποιὰ ξύλα ἐσφραγισμένα, καθάπερ ἐλήφθη-
σαν, διαμείναντα πρὸς τὰ Ἱεροσόλυμα ἀφίκετο, καὶ Μω-
δέστῳ τῷ ἀρχιερεῖ καὶ τῷ αὐτοῦ κλήρῳ ταῦτα ὑπέδειξεν.
οἱ δὲ τὴν σφραγῖδα σώαν ἐπεγίνωσκον· καὶ ὡς ἀνέπαφα
καὶ ἀθέατα βεβήλοις καὶ μιαφόνοις χερσὶ τῶν βαρβάρων
διετηρήθησαν, εὐχαριστήριον ᾠδὴν τῷ Θεῷ ἀνέθεσαν. τήν
τε κλεῖδα τὴν ἐπ' αὐτοῖς ὁ ἱεράρχης μείνασαν παρ' αὐτῷ
ἤγαγε, καὶ ἀνοιγέντα προσκυνοῦσιν ἅπαντες. ὑψωθέντων
δὲ αὐτῶν ἐκεῖσε εὐθὺς ἐς τὸ Βυζάντιον ὁ βασιλεὺς ἐξέπεμ-
ψεν. ἃ δὴ Σέργιος ὁ τοῦ Βυζαντίου ἱεράρχης ἐκ Βλαχερ-
νῶν (ἱερὸν δὲ αἱ Βλαχέρναι τῆς Θεομήτορος) λιτανεύων
ὑπεδέξατο καὶ πρὸς τὴν μεγίστην ἐκκλησίαν ἀγαγὼν ταῦτα
ἀνύψωσε. δευτέρα δὲ ἦν ἐνδικτιὼν ἡνίκα ταῦτα ἐπράτ-
τοντο.

Μετ' οὐ πολὺ δὲ καὶ Ἡράκλειος πρὸς τὸ Βυζάντιον
ἐχώρει, ὑπὸ πολλῆς εὐφημίας καὶ δόξης ὑπερβαλλούσης παρὰ
26 B τῶν ἐκεῖσε δεχθείς. τέσσαρας δὲ ἦγεν ἐλέφαντας, οὓς δὴ
καὶ εἰς τοὺς ἱππικοὺς ἀγῶνας ἐθριάμβευεν ἐπὶ τῇ τῆς
πόλεως τέρψει, ἡμέρας τε ἐπινικίους ἐπ' εὐφροσύνῃ πάσῃ
δωρεαῖς φιλοτιμούμενος ἐπετέλει. ἐπειδὴ δὲ ἦν ἑλὼν τῆς
οὐσίας τῆς μεγάλης ἐκκλησίας, ἐκέλευσεν ἐκ τοῦ βασιλικοῦ
ταμείου αὐτῇ τε καὶ τῷ κατ' αὐτὴν κλήρῳ ἐτήσια χρήματα
παρέχεσθαι. καὶ μετὰ τοῦτο παρασκευάζει Κωνσταντῖνον

1 ἀναιρεῖτο c *corr.* B  2 ὑπάρχοντι *sqq. cf. Suidam s. v.* Ἡράκλειος βασιλεὺς  4 ἐλείφθησαν c *corr.* B  5 πρὸς] *εἰς Suidas*  6 αὐτοῦ κλήρῳ *vulg. et Suid.* — οὗ — ῷ c *in lit. sec. ut vid. m., ῷ loco syllabae paullo longioris*  11 ἀνοιγέντα c² ἀναγνόντας c ἀναγνόντες?  12 ἐς *Suid.* εἰς c  19 ὑπὸ] μετὰ *Suidas*  20 ἤγαγεν c²  21 ἐθριάμβευσεν *Suid. et vulg.*  22 πάσαις *Suid.* πᾶσι? *cf.* p. 12, 26; 31, 23  23 ἐκ τῆς οὐσίας *Suid.*  24 βασιλικοῦ] βασιλέως *Suid.*

Digitized by Google

τὸν υἱὸν ὑπατεῦσαι, Ἡράκλειον δὲ τὸν ἀπὸ Μαρτίνης Καίσαρα προχειρίζεται.

Οὐ πολὺς δὲ χρόνος ἐν μέσῳ, καὶ Σαρακηνοὶ τὰ περὶ τὴν Ἀντιόχειαν κατέτρεχον. εὐθὺς δὲ Ἡράκλειος σὺν Μαρτίνῃ τῇ γυναικὶ καὶ Ἡρακλείῳ τῷ παιδὶ πρὸς τοῖς τῆς ἀνα- a. 635
τολῆς χωρίοις ἐπεξῄει. αὐτόθι δὲ γενόμενος Θεοδώρῳ τῷ ἀδελφῷ ὀργίζεται· ὑπεψιθυρίζετο δέ τισι λοιδορεῖσθαι αὐτὸν τῷ βασιλεῖ Μαρτίνης ἕνεκεν, λέγοντα ὅτι "ἡ ἁμαρτία αὐτοῦ ἐνώπιον αὐτοῦ διὰ παντός". καὶ αὐτὸν εἰς Βυζάντιον ἀποστέλλει, γράψας τῷ υἱῷ Κωνσταντίνῳ τοῦτον ἐπ' ἀθροίσματος λαοῦ ἀτιμώσαντα ὡς ἐν φρουρᾷ κατέχειν. στρατηγόν τε ἀνατολῆς ἐκπέμπει Θεόδωρον, τῶν βασιλικῶν χρημάτων ταμίαν, τὸ ἐπίκλην Τριθύριον. Σέργιος γὰρ ὁ κατὰ Νικήταν τελευτᾷ τρόπῳ τοιῷδε. κάμηλον οἱ Σαρακηνοὶ ἀποδειράντες τοῦτον ἐγκατακλείουσι τῇ δορᾷ καὶ ἐπέρραπτον. τῆς βύρσης οὖν κατεσκληκυίας συναπεξηραίνετο καὶ ὁ ἐντὸς καὶ ἀπομαρανθεὶς πικρῶς διώλετο. αἰτίαν δὲ αὐτῷ ἐπῆγον ὡς αὐτὸς fol. 192r
παρεσκεύασεν Ἡράκλειον μὴ συγχωρεῖν Σαρακηνοῖς [ἐκ τῆς 27 B
Ῥωμαίων γῆς ἐκπορεύεσθαι] τὰς συνήθως παρεχομένας αὐτοῖς τριάκοντα χρυσίου λίτρας δι' ἐμπορικῆς ἀμοιβῆς ἐκ τῆς Ῥωμαϊκῆς πολιτείας ἐκπέμπειν· ἐντεῦθέν τε αὐτοὺς ἄρξαι τῇ Ῥωμαίων λυμαίνεσθαι χώρᾳ. ἐκ τούτου παρήγγειλε Θεοδώρῳ μὴ συμβάλλειν πρὸς μάχην Σαρακηνοῖς. οἱ δὲ προλοχήσαντες καὶ ὀλίγοις τισὶν ἀκροβολισάμενοι Ῥωμαίοις ὑπήγοντο. εἰσπίπτουσι δὲ αὐτοῖς οἱ ἐκ τῶν ἐνεδρῶν ἐξαπιναίως,

1 δὲ] τε *Suid.* 4 εὐθέως c² 8 Μαρτίν[ης] c *Psalm.* 51, 5 11 ὡς] τέως B 12 τῶν] τὸν *sprscr. in* c *sec. ut vid. m.* 13 ἐπίκλιν c, *corr. vulg.* κατὰ] μετὰ B 16 καὶ ὁ ἐντὸς καὶ c² καὶ ὁ ἐντὸς c *vulg.* ὁ ἐντὸς καὶ B ἀπομαρανθεὶς c² ἀπομαρανθὲν c 17 ἐπεῖγον c, *corr. vulg.* 19 ἐμπορεύεσθαι *corr.* c *sec. m. ut vid.* ἐκ τῆς Ῥωμαίων γῆς ἐκπορεύεσθαι *del.*? 20 λίτρας c² *in lacuna* 22 Θεοδώρῳ c² *ex* Θεοδωρο *sequente lacuna unius literae* 24 ὑπήγοντο c² *vulg.* ὑπείγοντο c ἐπήγοντο B

Digitized by Google

καὶ μέσον ἀπολαβόντες πολλοὺς ἔκτειναν στρατιώτας τε καὶ ἄρχοντας.

Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον Μαρία ἡ ἀδελφὴ Ἡρακλείου χρήματα πρὸς τὸν χαγάνον Ἀβάρων ἔπεμψε καὶ τὸν υἱὸν Στέφανον ἀπέλαβε. τοῖς δὲ τοιούτοις δώροις ἡσθεὶς ὁ Ἄβαρος ἠρέθισεν Ἀνιανὸν τὸν μάγιστρον, ὡς καὶ αὐτὸς πέμψας δῶρα ἀπολήψεται καὶ τοὺς ἄλλους οὕσπερ κατεῖχεν ὁμήρους. καὶ δὴ καὶ ἐγένετο οὕτως.

Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν ἐπανέστη Κούβρατος ὁ ἀνεψιὸς Ὀργανᾶ ὁ τῶν Οὐνογουνδούρων κύριος τῷ τῶν Ἀβάρων χαγάνῳ, καὶ ὃν εἶχε παρ' αὐτοῦ λαὸν περιυβρίσας ἐξεδίωξε τῆς οἰκείας γῆς. διαπρεσβεύεται δὲ πρὸς Ἡράκλειον καὶ σπένδεται εἰρήνην μετ' αὐτοῦ, ἣνπερ ἐφύλαξαν μέχρι τέλους τῆς ἑαυτῶν ζωῆς· δῶρά τε γὰρ αὐτῷ ἔπεμψε καὶ τῇ τοῦ πατρικίου ἀξίᾳ ἐτίμησεν.

28 B Ἐν ᾧ δὲ ἐν τοῖς ἀνατολικοῖς μέρεσι διέτριβεν Ἡράκλειος, Ἰωάννην τὸν Βαρκαίνης στρατηγὸν προχειρίζεται καὶ πέμπει κατὰ Σαρακηνῶν τῶν ἐν Αἰγύπτῳ· οἷς συμβαλὼν πίπτει καὶ αὐτός. ἔτι καὶ Μαρῖνος ὁ τῶν Θρᾳκικῶν ἐκστρατευμάτων ἡγεμὼν συμμίξας αὐτοῖς ἡττήθη, πολὺν δὲ στρατὸν ἀποβαλὼν καὶ αὐτὸς μόλις διασώζεται. μετ' ἐκεῖνον προβάλλεται στρατηγὸν Μαριανὸν κουβικουλάριον παρὰ Ῥωμαίων τὴν ἀξίαν καὶ πέμπει ἐκεῖσε, παραγγείλας ὡς ἀνακοινοῦσθαι Κύρῳ τῷ Ἀλεξανδρείας ἱεράρχῃ, καὶ ὡς ἂν κοινῇ [βουλεύσοιντο] τὰ πρὸς τοὺς Σαρακηνοὺς διάθοιντο. Κῦρος δὲ ἦν δεδηλωκὼς βασιλεῖ σπείσεσθαι ἐπὶ τελέσμασιν Ἄμβρῳ τῷ τῶν Σαρακηνῶν φυλάρχῳ, ἃ δὴ καὶ ὑπέχειν δι' ἐμπολαίου συνεισφορᾶς ἐσήμαινε, τὰ δὲ τῷ βασιλεῖ παρεχόμενα ἀδιάπτωτα μένειν· κατεγγυηθῆναι δὲ αὐτῷ Εὐδοκίαν

4 Χαγᾶνον c *corr.* B 6 Ἀντωνιανὸν *vulg. cf. Chron. Pasch.* p. 714, 7 Bonn. μαγιστρον (*sine acc.*) c βουλεύσοιντο *del.*? 26 Κύρος c *corr.* B 28 τῷ βασιλεῖ *lit. factum ex* τῶν βασιλειῶν c *cf.* p. 26, 23

Digitized by Google

τὴν Αὐγούσταν ἢ μίαν τῶν θυγατέρων τοῦ βασιλέως ὡς ἐντεῦθεν καὶ τῷ θείῳ λουτρῷ βαπτισθησομένῳ καὶ Χριστιανῷ χρηματίσοντι. ἐπείθετο γὰρ Ἄμβρος τῷ Κύρῳ καὶ ὁ τούτου στρατός· καὶ γὰρ ἠγάπων αὐτὸν λίαν. καὶ τούτων Ἡράκλειος οὐδενὸς ἠνείχετο. ἐπειδὴ δὲ καὶ Μαριανὸς ταῦτα ἐξηπίστατο, διίστατο τῆς τοῦ Κύρου γνώμης, καὶ συμβαλὼν Σαρακηνοῖς πίπτει τε αὐτὸς καὶ σὺν αὐτῷ στρατος ἱκανός.

Τούτῳ τῷ χρόνῳ ἀνέξευξε πρὸς τὰ οἰκεῖα Ἡράκλειος fol. 192ᵛ καὶ ηὐλίζετο ἐν τῷ παλατίῳ τῷ καλουμένῳ τῆς Ἱερίας· ἐδεδίει γὰρ ἐπιβῆναι θαλάσσῃ, πολλά τε ἀξιοῦντες οἵ τε ἄρχοντες καὶ οἱ τῆς πόλεως ἐν τῇ πόλει εἰσελθεῖν ἔπειθον οὐδαμῶς. 29 B ἐν δὲ ταῖς ἑορταῖς μόνους τοὺς υἱοὺς ἐξέπεμπε, καὶ αὐτοὶ ἐπιτελοῦντες ἐν τῷ ἱερῷ τὴν θείαν λειτουργίαν εὐθὺς πρὸς αὐτὸν ἐξῄεσαν. ὡσαύτως καὶ τοὺς ἱππικοὺς ἀγῶνας ἡνίκα ἐθεῶντο, πάλιν πρὸς τὸν πατέρα ἀπεχώρουν. ἐν ᾧ δὲ διέτριβεν ἐκεῖσε, ἀγγέλλεται αὐτῷ ὡς ὁ υἱὸς αὐτοῦ Ἀταλάριχος καὶ Θεόδωρος ὁ τὴν ἀξίαν μάγιστρος, Θεοδώρου δὲ τοῦ βασιλέως ἀδελφοῦ υἱός, σὺν ἄλλοις τισὶν ἐπιβουλεύειν αὐτῷ ἤμελλον· καὶ τοῖς μηνύσασι πεισθεὶς τούτων τὰς ῥῖνας καὶ τὰς χεῖρας ἐξέτεμε, καὶ Ἀταλάριχον μὲν εἰς τὴν νῆσον τὴν λεγομένην Πρίγκιπον ἐξόριστον ἔπεμψε, Θεόδωρον δὲ πρὸς τὴν νῆσον ⟨τὴν⟩ Γαυδομελέτην προσαγορευομένην, ἐπιτρέψας τῷ ἐκεῖσε δουκί, ἡνίκα πρὸς αὐτὸν καταλάβοι, καὶ τὸν ἕτερον τῶν ποδῶν ἀφελέσθαι. κατὰ ταῦτα δὲ καὶ τοὺς συγγνόντας αὐτοῖς τὰ τῆς ἐπιβουλῆς ἐτιμωρήσατο.

Χρόνου δὲ ἱκανοῦ διελθόντος παρασκευάζουσιν οἱ τοῦ βασιλέως ἄρχοντες τὸν ὕπαρχον ὡς συναγαγεῖν πλεῖστα πλοῖα

6 τοῦ *Κύρου* c¹ *τούτου* c 9 τὰ *Ἡρία Suid. s. v.* Ἡράκλειος 13 εἰσέπεμπε B 16 ἐθέοντο c *corr. vulg.* 18 μαγίστρος c 22 Πρίγγιπον c *corr. vulg.* 23 *τὴν ante* Γαυδομ. *om.* c *add.* B 25 ταὐτὰ? 28 ὕπαρχον *Suid.* ἔπαρχον c *συναγαγὼν — γεφυρώσειε?*

Digitized by Google

καὶ ἐχόμενα ἀλλήλοις ἐξάψας ὥσπερ γεφυρώσει τὸν πόρθμον
τοῦ καλουμένου Στενοῦ, κλώνοις τε δένδρων καὶ φυλλάσιν
ἑκατέρωθεν διατειχίσειεν, ὡς μηδὲ ὁρᾶσθαι παριόντι τὴν
θάλασσαν. καὶ δὴ τὸ ἔργον εἰς τάχος προυχώρει, καὶ ὁ
βασιλεὺς ἱππεὺς διὰ θαλάττης ὥσπερ διὰ τῆς ἠπείρου κατὰ 5
τὰς ἀκτὰς τοῦ λεγομένου κόλπου Φιδαλίας ἐπεραιοῦτο, οὔτε
30 B τὸν παράκτιον χῶρον παραμείψας διὰ τῆς γεφύρας τοῦ
a. 638 Βαρβύσσου ποταμοῦ πρὸς τὸ Βυζάντιον εἰσήει. καὶ μετὰ
ταῦτα Ἡράκλειον τὸν Καίσαρα στέφει βασιλέα.

a. 638 Κατὰ δὲ τὴν δωδεκάτην ἰνδικτιόνα ἐτελεύτα Σέργιος 10
ὁ τοῦ Βυζαντίου πρόεδρος. καὶ ἐπειδήπερ προσέκειτο Ἡρά-
κλειος Πύρρῳ, ἀδελφόν τε ἐκάλει, ὡς ἡνίκα τῷ θείῳ λου-
τρῷ ἐφωτίζετο ἡ τοῦ βασιλέως ἀδελφὴ χερσὶν ἐδέξατο, καὶ
ἅμα ᾠκειωμένον Σεργίῳ καὶ συνδιαιτώμενον ἐγίνωσκε, τοῦ-
τον ἀρχιερέα τοῦ Βυζαντίου ἀνηγόρευσεν. ἤδη χρόνοις τισὶ 15
πρότερον Κῦρον τὸν Ἀλεξανδρείας πρόεδρον μετάκλητον εἰς
Βυζάντιον ἦν πεποιηκώς, καὶ ἐν αἰτίᾳ μεγάλῃ εἶχεν ὡς τὰ
τῆς Αἰγύπτου πάσης Σαρακηνοῖς καταπροέμενον πράγματα.
τηνικαῦτα δὲ περὶ τῶν αἰτιαθέντων ἐπὶ πλείστου ἀθροισθέν-
fol. 193r τος τοῦ τῆς πόλεως ἐπεξῄει δήμου. ὁ δὲ ἀπελογεῖτο ὡς 20
οὐδαμῶς τούτων ἔνοχος καθειστήκει, ὡς εἰ ἡ βουλὴ αὐτοῦ
προυχώρει καὶ τοῖς Σαρακηνοῖς δι' ἐμπολῆς τὰ τῆς φορο-
λογίας παρεῖχε καὶ ἐφ' ἑαυτοῖς ἠσύχαζον, καὶ τὰ τῷ βασι-
λεῖ παρεχόμενα οὐ καθυστερίζοιτο. ἄλλους τε ταὐτὰ ἐπ-
ηρτιᾶτο πράξαντας, καὶ αὐτὸν μάτην ὑπὲρ τούτων ἐγκαλούμενον 25
ἰσχυρίζετο. ὁ δὲ Ἕλληνα τὸν Κῦρον ἀπεκάλει ὡς Ἕλληνι
καὶ θεομάχῳ καὶ κατὰ Χριστιανῶν φρονοῦντι τῷ Ἀμβρῳ
τῷ τῶν Σαρακηνῶν φυλάρχῃ συμβουλεύσαντα τὴν τοῦ βα-

2 κλόνοις c *corr.* B  6 Φιδαλίας P Φαιδαλίας c Φειδα-
λίας *Suid.*  12 Πύρρῳ P Σεργίῳ c  14 οἰκειωμένον c²
16 Κύρον c *corr. vulg. item v.* 26  23 παρείχετο? ἠσύχα-
ζον *vulg.* ἡσυχάζων c ἡσυχάζοιεν?  24 ταὐτὰ] ταῦτα c τοι-
αῦτα *vulg.* ἐπαιτιᾶτο c²  25 αὐτὸν c *corr. vulg.*

Digitized by Google

σιλέως κατεγγυηθῆναι Θυγατέρα. ἐν τούτοις οὖν ἀγανακτήσας κατ' αὐτοῦ καὶ ἀναιρήσειν ἀπειλῶν, τῷ τῆς πόλεως αὐτὸν ὑπάρχῳ ὡς αἰκισομένῳ παραδίδωσι.

Μετὰ τοῦτο ἐδικαίου τὸν υἱὸν Ἡράκλειον ὑπατεῦσαι, 31 B
Δαβίδ τε καὶ Μαρῖνον τοὺς υἱοὺς αὐτοῦ Καίσαρας ἀνηγόρευσεν, Αὐγουστῖναν δὲ καὶ Μαρτῖναν τὰς Θυγατέρας Αὐγούστας. χρόνου δὲ διελθόντος νόσῳ ὑδερικῇ περιπίπτει, καὶ ὁρῶν τὸ πάθος δυσίατον — ἐπὶ τοσοῦτο γὰρ ἐπεκτείνετο ὡς καὶ ἡνίκα ἀπουρεῖν ἔμελλε σανίδα κατὰ τοῦ ἤτρου ἐπετίθει· ἐστρέφετο γὰρ αὐτοῦ τὸ αἰδοῖον καὶ κατὰ τοῦ προσώπου αὐτοῦ τὰ οὖρα ἔπεμπεν. ἔλεγχος δὲ ἦν τοῦτο τῆς παρανομίας τῆς ἑαυτοῦ, ὑπὲρ ἧς ταύτην δίκην ὑστάτην ἐξέτισε τοῦ εἰς τὴν ἀνεψιὰν τὴν οἰκείαν γάμου. διαθήκας οὖν ἐξετίθει, ὥστε Κωνσταντῖνον καὶ Ἡράκλειον τοὺς υἱοὺς αὐτοῦ βασιλεῖς ἰσοτίμους εἶναι, καὶ Μαρτῖναν τὴν αὐτοῦ γυναῖκα τιμᾶσθαι παρ' αὐτῶν ὡς μητέρα καὶ βασίλισσαν. ἐκ τούτου λοιπὸν ἐτελεύτα ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, ἐν a. 640
δὲ τῇ βασιλείᾳ διανύσας ἔτη τριάκοντα μῆνας τέσσαρας ἡμέρας ἕξ. Θάπτεται δὲ ἐν τῷ ἱερῷ τῶν πανευφήμων ἀποστόλων, καὶ τρισὶν ἡμέραις ἀσκεπές, ὥσπερ ἦν διατάξας ἔτι περιών, τὸ ὑποδεξάμενον αὐτοῦ τὸ σῶμα διετέλει μνῆμα, περικαθημένων αὐτὸ εὐνούχων ὑπηρετῶν.

Μετὰ τοῦτο Μαρτῖνα ἡ Αὐγούστα προσκαλεῖται Πύρρον τὸν ἀρχιερέα καὶ τοὺς βασιλικοὺς ἄρχοντας, ἐκκλησιάσασα καὶ τὸν περὶ τὸ Βυζάντιον λαόν, τάς τε διαθήκας Ἡρακλείου ὑπεδείκνυ, ὡς περὶ αὐτῆς καὶ τῶν τέκνων διέθετο. ὁ δὲ παρὼν ἅπας δῆμος Κωνσταντῖνον καὶ Ἡράκλειον τοὺς βασιλεῖς ἐπεζήτει· ἡ δὲ ἦγεν αὐτούς, καὶ ἅμα διελογίζετο νομίζουσα ἅτε βασίλισσα τὰ πρῶτα εἰς τὴν βασιλείαν 32 B

1 ἐπὶ B 5 δᾶδ c τε] δὲ B 8 ἐπεκτείνετο *vulg.* ἐπετείνετο c *cf.* ἐπεκτάθη *Ham.* 9 ἴτρου c *Ham. corr. vulg.* 11 *ἀγέπεμπε? ex Ham.* 13 ἐξέτισε *lit. ex* ἐξήιτησε c *sec. m. ut videtur* 23 Πύρρον] Κύρον c 28 διελέγετο c²

φέρεσθαι. τινὲς δὲ τοῦ συνεστῶτος λαοῦ ἀνεφώνουν πρὸς αὐτὴν ὅτι "σὺ μὲν τιμὴν ἔχεις ὡς μήτηρ βασιλέων, οὗτοι δὲ ὡς βασιλεῖς καὶ δεσπόται". ἐξαίρετον δὲ ἐδίδουν γέρας
fol. 193ᵛ Κωνσταντίνῳ ὡς πρώτῳ εἰς τὴν βασιλείαν κατὰ τὴν ἡλικίαν ἐκ παιδὸς προχειρισθέντι. "οὐδὲ γὰρ βαρβάρων ἢ ἀλλοφύλων πρὸς τὰ βασίλεια εἰσερχομένων, ὦ δέσποινα," ἔφασκον, "δύνασαι ὑποδέχεσθαι ἢ λόγοις ἀμείβεσθαι· μηδὲ δοίη θεὸς ἐν τούτῳ τάξεως τὴν Ῥωμαϊκὴν ἐλθεῖν πολιτείαν". καὶ κατήρχοντο ἀνευφημοῦντες τοὺς βασιλεῖς. ταῦτα ἀκούσασα πρὸς τὸ ἑαυτῆς ὑπεχώρει παλάτιον.

Ἐξ οὗ καὶ Κωνσταντῖνος τῆς βασιλείας ἦρχε. προσαγγέλλει δὲ αὐτῷ Φιλάγριος, ὃς ἦν τῶν βασιλικῶν χρημάτων ταμίας, ὡς ἀσθενοῦντος τοῦ πατρὸς Ἡρακλείου χρήματα Πύρρῳ τῷ ἀρχιερεῖ παρατίθεσθαι Μαρτίνης τῆς βασιλίσσης ἕνεκεν, ὡς μή ποτε αὐτὴ ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως καὶ προγόνου ἐκ τῶν βασιλείων διωθουμένη χρημάτων καθυστερίζοιτο. ὁ δὲ Πύρρον μεταστειλάμενος διεπυνθάνετο εἰ οὕτω ταῦτα ἔχοι. Πύρρος δὲ ὑπὸ Φιλαγρίου διελεγχόμενος προεδίδου καὶ οὐκ ἐθέλων τὰ χρήματα. ἐπεὶ δὲ νόσῳ χρονίᾳ Κωνσταντῖνος συνείχετο καὶ εὐκρασίας ἀέρων ἕνεκεν
ἐν Χαλκηδόνι διέτριβεν ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι παλατίῳ, ἰδὼν Φιλάγριος ἀρρώστως αὐτὸν διακείμενον, καὶ ἐλπίσας τάχιον ἀποβιῶσαι, ἐδεδίει Ἡράκλειον καὶ Μαρτῖναν ὡς αὐ-
33 B τὸν κακώσοντας. ἐκ τούτου Κωνσταντίνῳ συνεβούλευε γράφειν τοῖς στρατευομένοις ὡς τελευτῆς συμβαινούσης αὐτῷ ἀντιλαβέσθαι τῶν τέκνων αὐτοῦ, καὶ μὴ συγχωρεῖν ἀδικεῖσθαι μηδὲ τῆς βασιλείας διωθεῖσθαι. ἐφ' οἷς ἡσθεὶς Κωνσταντῖνος Οὐαλεντῖνον τὸν Φιλαγρίου ὑπασπιστὴν τά τε γράμματα καὶ τὴν λοιπὴν τοῦ πράγματος ἐργασίαν ἐγχειρίσας πρὸς τὸ στράτευμα ἐξέπεμψε, δεδωκὼς αὐτῷ χρήματα

4 κατὰ P καὶ c
16 διωθουμένην c *corr. vulg.*
18 οὕτω c¹ *in mg.*

Digitized by Google

συντελοῦντα εἰς ποσότητα ἀριθμοῦ μυριάδων [πέντε] διακοσίων καὶ ἔτι μύρια καὶ ἑξακισχίλια νομίσματα, ὑποθέμενος πείθειν τοὺς τοῦ στρατιωτικοῦ καταλόγου μετὰ τελευτὴν Κωνσταντίνου ἀντικαθίστασθαι Μαρτίνῃ καὶ τοῖς τέκνοις αὐτῆς. συμβασιλεύσας δὲ τῷ πατρὶ ἔτη ὀκτὼ καὶ εἴκοσι, καὶ ἐπιβιοὺς εἰς τὴν βασιλείαν ἔτι ἡμέρας ἑκατὸν τρεῖς, ἐτελεύτησε. a. 641

Μεθ' ὃν αὐτοκράτωρ τῆς βασιλείας ἀναγορεύεται Ἡράκλειος, ᾧ συνελάμβανεν εἰς τὰ τῆς βασιλείας πράγματα καὶ ἡ μήτηρ Μαρτῖνα. εὐθὺς οὖν τὸν τοῦ πατρὸς στέφανον, ὃν καὶ συνέθαψαν αὐτῷ καὶ ὁ υἱὸς Κωνσταντῖνος τοῦ ναοῦ ἐξήνεγκε τιμηθέντα μέχρι χρυσίου λιτρῶν ἑβδομήκοντα, τῷ θεῷ προσφέρει ἐν τῷ ἱερῷ, Κῦρον δὲ τὸν πρόεδρον Ἀλεξανδρείας τῷ οἰκείῳ θρόνῳ ἀποκαθίστησι. Φιλάγριον δὲ ἀποκείρας ἐξόριστον εἰς τὸ Σέπτας λεγόμενον φρούριον πρὸς ἥλιον δύνοντα κατὰ [τὰ] θάτερα τῶν Ἡρακλέος στη- fol. 194r
λῶν πρὸς τῇ Λιβύῃ κείμενον παρέπεμψεν. ἑτέρους τε πλείστους, οὓς εὗρε φίλους καὶ ὑπηρέτας αὐτοῦ, πληγαῖς καὶ ἑτέραις αἰκίαις ἠμύνατο. Οὐαλεντῖνος δὲ ὁ Φιλαγρίου ὑπασπιστὴς ταῦτα αἰσθόμενος τὸ στρατιωτικὸν κατὰ Μαρ- 34 B
τίνης καὶ τῶν τέκνων αὐτῆς ἐτάραττε· μεθ' ὧν τὴν Χαλκηδόνος καταλαμβάνει ὡς τοῖς τέκνοις Κωνσταντίνου ἐπικουρήσων, καὶ αὐτοῦ διέτριβεν. Ἡράκλειος δὲ τήν τε πόλιν ἐν τῷ ἀσφαλεῖ εἶχε, καὶ πᾶσιν ἀπελογεῖτο ὡς Ἡράκλειος ὁ υἱὸς Κωνσταντίνου ἀπήμαντος διαμένει, καὶ πᾶσι ὑγιέα καὶ σῶον ὑπεδείκνυ, καὶ ἅμα ὡς τέκνου γνησίου περιείχετο. καὶ τοῦτο ἐπιστοῦτο τῷ ἐκ τοῦ σωτηριώδους βαπτίσματος

1 *μυριάδων πέντε διακοσίων* c. *quanam manu puncta posita sint discerni nequit. πέντε καὶ διακοσίων* B 10 *τὸν μὲν τοῦ* B 12 *λιτρῶν in lacuna* $c^2$ 13 *προσφέρειν* c *corr. vulg.* 15 *Σεπται* (*om. accentu*) c *corr. vulg.* 16 *τὰ uncis inclusit vulg.* 21 *μεθ' ὃν* c *corr. vulg. Χαλκηδόνα vulg. cf.* p. 31, 10 25 *πᾶσι ὑγιέα*] *πάση ὑγιεία* c *πάσηὑγιᾶ* $c^2$ *πάσῃ νγείᾳ vulg.* 27 *τῷ*] *τὸ* c *corr. vulg.*

Digitized by Google

ἀγκάλαις δέξασθαι. καὶ συμπαρόντος Πύρρου τοῦ τῆς πόλεως ἱεράρχου τῶν ζωοποιῶν ξύλων ἥπτετο καὶ διώμνυτο ὡς οὔτε δι' αὐτοῦ οὔτε δι' ἑτέρου τὰ τοῦ Κωνσταντίνου τέκνα βλαβήσεται. Οὐαλεντῖνον δὲ ἀπισχυρίζετο δεικνύειν ὡς ἐπιβουλεύσαντα αὐτοῖς καὶ τῆς βασιλείας ἐπορεγόμενον. ὡς δὲ εἰς πλεῖον ἅπαντα βεβαιώσηται, συλλαβὼν μεθ' ἑαυτοῦ Ἡράκλειον πρὸς Οὐαλεντῖνον περαιοῦται, καὶ πάλιν ἐβουλεύετο διόμνυσθαι καὶ πείθειν αὐτοὺς ὡς φιλοστόργως διάκειται πρὸς Ἡράκλειον. Οὐαλεντῖνος δὲ οὐκ ἐδέχετο ἀλλ' ἀπέπεμπε, καὶ δὴ ὑπενόστει καὶ διηγεῖτο πάντα τοῖς τῆς πόλεως. οἱ δὲ ἐπείθοντο καὶ Οὐαλεντῖνον ἐδυσφήμουν.

Τῆς τρύγης δὲ ἐπιλαβούσης, οἱ τῆς πόλεως αἰσθόμενοι ὡς ὁ μετὰ Οὐαλεντίνου στρατὸς τούς τε ἀμπελῶνας αὐτῶν διαφθείρει κἀκείνους οὐ συγχωρεῖ ἐκεῖσε περαιοῦσθαι, συνίστανται Πύρρῳ βοῶντες στέφειν Ἡράκλειον τὸν Κωνσταντίνου υἱόν. Πύρρος δὲ τὴν ταραχὴν καὶ τὴν στάσιν τοῦ λαοῦ περιαθρήσας ἀπελογεῖτο ὡς οὐ διὰ τοῦτο
35 B αὐτοὶ στασιάζουσιν, ἀλλ' Οὐαλεντίνῳ τὴν βασιλείαν περιποιοῦνται. ἔτι οὖν ἐπικειμένου τοῦ ὄχλου δῆλα ποιεῖ βασιλεῖ ἅπαντα. ὁ δὲ συλλαβόμενος τὸν ἀνεψιὸν Ἡράκλειον εὐθέως ἐπὶ τὸ ἱερὸν ἐχώρει καὶ ἀνέρχεται ἅμα Πύρρῳ ἐν τῷ ἄμβωνι καὶ προτρέπεται στέφειν Ἡράκλειον. οἱ δὲ ὄχλοι τὸν βασιλέα ἐβιάζοντο τὸ ἔργον ἐπιτελεῖν. ὁ δὲ λαβὼν ἐκ τῆς ἐκκλησίας τὸν τοῦ πατρὸς Ἡρακλείου στέφανον τὸ ἔργον ἐπλήρου. εὐθὺς οὖν τὸν στεφθέντα Κωνσταντῖνον οἱ ὄχλοι μετονομάζουσι. τὸ οὖν ἀχυρῶδες καὶ ἀγροικωδέστερον τοῦ λαοῦ κατὰ Πύρρου τὰς χεῖρας ὤπλιζον, καὶ πρὸς τὸ ἱερὸν γενόμενοι αὐτὸν μὲν οὐχ εὗρον, κατὰ δὲ τὸν καιρὸν τῆς τοῦ λυχνικοῦ συνάξεως εἰσέρχονται ἐπαγόμενοι Ἑβραίων καὶ ἄλλων κακοδόξων ὅμιλον ἐν τῷ θυσιαστηρίῳ.

6 εἰς πλεῖον ἅπαντα] εἰς πλείονα πάντα c ἐπὶ πλεῖον πάντα B 8 διωμνῦσθαι c *corr. vulg.* 17 περιαθρήσας *vulg.* περιαθροίσας c 26 ἀγυρτῶδες?

Digitized by Google

καὶ τὴν μὲν ἐνδυτὴν διαρρηγνῦσι, καὶ τὸν ἱερὸν χῶρον fol. 194ᵛ
αἰσχρῶς κατερρύπαινον, τάς τε κλεῖς τῶν πυλῶν λαβόντες
ἐπὶ κοντοῦ ἀνήρτων, καὶ οὕτω τὴν πόλιν ἀθέσμως περιῆεσαν.
Πύρρος δὲ ταῦτα μαθὼν τῇ ἐπιούσῃ νυκτὶ ἐν τῷ ἱερῷ
παραγίνεται καὶ πάντα τὰ ἱερὰ ἀσπάζεται καὶ τὸ περικεί-
μενον αὐτῷ ὠμόφορον περιελὼν τῇ ἱερᾷ ἀποτίθεται τρα-
πέζῃ, φήσας "τῆς ἱερωσύνης μὴ ἀφιστάμενος ἀποτάσσομαι a. 641
λαῷ ἀπειθεῖ". ἐκεῖθεν ἡσυχῇ ἐξελθὼν παρὰ μιᾷ θεο-
σεβεστάτῃ γυναικὶ κρυφῇ κατήγετο καὶ καιροῦ εὐθέτου λαβό-
μενος πρὸς τὴν Χαλκηδόνος ἀπέπλει. οὗ τὴν ἔλευσίν τινες
τῶν μοναζόντων ἐκεῖσε ἀκηκοότες περὶ τῶν ἐκτεθέντων παρὰ
τοῦ πάλαι Ἡρακλείου τοῦ βασιλέως καὶ Σεργίου τοῦ τῆς
πόλεως ἱεράρχου, ἕνεκεν τῶν δύο ἐπὶ τοῦ σωτῆρος Χριστοῦ
θελημάτων καὶ ἐνεργειῶν ἀνηρεύνων, ὧν προασπισταὶ ἐτύγ- 36 B
χανον Μάξιμος καὶ Θεοδόσιος ὄντες ἐν Ἀφρικῇ. καὶ τὰ
μὲν κατὰ Πύρρον οὕτω πως ἔσχεν.

Ἐπεὶ οὖν τοὺς περὶ Οὐαλεντῖνον ἡ Χαλκηδὼν εἶχεν,
ἀναγκαιοτέρως Ἡράκλειος καὶ Μαρτῖνα, ὡς μὴ ἐπὶ πλεῖον
τὰ ἐκεῖσε προάστεια βλάπτοιτο, ἑνωθῆναί τε αὐτῷ καὶ ὅρ-
οις τὰ πρὸς ἀλλήλους θέσθαι· καὶ ἀξίᾳ αὐτὸν ἐτίμησαν
ἣν Ῥωμαῖοι καλοῦσι κόμητα ἐξσκουβιτόρων, καὶ μηδ' ὅλως
ἐγκαλεῖσθαι περὶ ὧν παρὰ Κωνσταντίνου ἐδέξατο χρημάτων,
φιλοτιμηθῆναι δὲ χρήμασι τοῖς συνελθοῦσιν αὐτῷ στρα-
τιώταις, στεφθῆναί τε καὶ Δαβὶδ τὸν Καίσαρα καὶ μετονο-
μασθῆναι Τιβέριον. καὶ τούτων οὕτω τελεσθέντων προχει-
ρίζεται Παῦλος, οἰκονόμος γεγονὼς τῆς μεγάλης ἐκκλησίας,
ἀρχιερεὺς Κωνσταντινουπόλεως, κατὰ τὸν Ὀκτώβριον μῆνα a. 641
τῆς πεντεκαιδεκάτης ἰνδικτιόνος. Κωνσταντῖνος οὖν ἐν Σικε- a. 668
λίᾳ ὑπὸ τῶν ἰδίων ὑπηρετῶν δόλῳ φονευθεὶς ἐν τῷ λου-

10 *Χαλκηδόνα* an *Χαλκηδόνος πόλιν* B *cf.* p. 29, 21 *Καρχηδόνος*? 17 *Οὐαλεντῖνον* P *Οὐαλεντίνου* c 18 *ἀναγκαιοτέρως ἔσχον Ἡρ.*? B *post θέσθαι v.* 20 *intercidisse suspicatur* ἐζήτουν *aut* ἐβουλεύοντο 24 *δᾶδ* c

Digitized by Google

τρῷ, ἤδη ἐν τῇ βασιλείᾳ εἰκοστὸν ἕβδομον ἀνύσας ἔτος, ἐτελεύτα.

Μεθ' ὃν Κωνσταντῖνος ὁ υἱὸς τὰ τῆς βασιλείας ἐγχειρίζεται σκῆπτρα. καὶ τούτου ἀρξαμένου εὐθὺς ὁ τῶν Σαρα-
a. 673 κηνῶν ἡγούμενος ναῦς πλείστας κατασκευάσας κατὰ τοῦ Βυζαντίου ἐκπέμπει, ἡγεμόνα τούτων ἐπιστήσας, ἅτε πιστότατον καὶ τὰ πολέμια ἔμπειρον, κατὰ τὴν ἑαυτῶν διάλεκτον Χαλὲβ ὀνομαζόμενον· ὃς ἀναχθεὶς προσωρμίζετο ἐν προαστείοις τοῦ Βυζαντίου, κατὰ τὸν παραθαλάσσιον τόπον τὸν καλούμενον Ἕβδομον. τοῦτον αἰσθόμενος Κωνσταντῖνος ἀντι-
37 B παρατάττεται καὶ αὐτὸς στόλῳ μεγάλῳ. ὑφ' ὧν πλεῖσται ναυμαχίαι ἑκάστης ἡμέρας ἐγίνοντο, τοῦ πολέμου συγκροτουμένου ἀπὸ τοῦ ἐαρινοῦ μέχρι φθινοπωρινοῦ καιροῦ.
fol. 195r χειμῶνος δὲ ἐπιγινομένου ὁ τῶν Σαρακηνῶν στόλος διαπεραιωθεὶς ἐν Κυζίκῳ διεχείμαζε, καὶ πάλιν ἔαρος ἀρχομένου ἐκεῖθεν ἀνταναχθεὶς ὡσαύτως τοῦ διὰ θαλάσσης πολέμου εἴχετο. ἑπτὰ οὖν ἔτεσι τοῦ πολέμου διαρκέσαντος τέλος οὐδὲν πλέον ὁ τῶν Σαρακηνῶν ἤνυσε στόλος, ἀλλὰ πολλούς τε ἄνδρας μαχίμους ἀποβαλόντες καὶ δεινῶς τραυματισθέντες καὶ χαλεπῶς ἡττημένοι ὑπενόστουν πρὸς τὰ οἰκεῖα καταίροντες. πρὸς δὲ τοῖς πελάζουσι τοῦ Συλλαίου γενόμενοι ὑπὸ σκληρῶν πνευμάτων καὶ θαλασσίου κλύδωνος καταληφθέντες πανστρατιᾷ διώλοντο. ὁ δὲ τῶν Σαρακηνῶν βασιλεὺς τὸ τοῦ στόλου ἀπούσας δυστύχημα πρέσβεις ἀποστέλλει πρὸς Κωνσταντῖνον ὡς σπεισόμενος πρὸς αὐτὸν ἐπὶ τελέσμασιν ἐνιαυσίοις. ὁ δὲ τούτους δεξάμενος καὶ τὰ δηλωθέντα ἀκηκοὼς συνεκπέμπει αὐτοῖς Ἰωάννην τὸν πατρίκιον, τὸ ἐπίκλην Πιτζιγαύδιον, πολυπειρίᾳ καὶ φρονήσει δια-

6 τοῦτον c αὐτῶν *vulg.* 10 τούτου B *sed cf.* p. 13, 22 14 διαπεραιωθεὶς $c^2$ διαπεραιωθὲν c 15 ἀρχομένου *vulg. Ham.* ἐρχομένου c 18 ἤνυε *Ham.* 22 γενόμενοι — καταληφθέντες $c^2$ *vulg.* γενομένου — καταληφθέντων c γενομένων καὶ — καταληφθέντων? 28 ἐπίκλιν c *corr. vulg.*

Digitized by Google

φέροντα, ὡς τὰ ἐπὶ τῇ εἰρήνῃ διαλεχθησόμενον· ὃς πρὸς τὰ τῶν Σαρακηνῶν γενόμενος ἦθη συμβαίνει τε αὐτοῖς ὅρκοις τὴν εἰρήνην βεβαιωσάμενος ἐπὶ τριάκοντα ἔτεσιν, ὥστε παρέχεσθαι Ῥωμαίοις ὑπὸ τῶν Σαρακηνῶν ἀνὰ ἔτος ποσότητα χρυσίου τρεῖς χιλιάδας ἄνδρας τε αἰχμαλώτους πεντήκοντα καὶ ἵππους πεντήκοντα. ταῦτα ἀκηκοότες καὶ οἱ πρὸς τὰ ἑσπέρια οἰκοῦντες μέρη, τουτέστιν ὁ τῶν Ἀβάρων ἡγεμὼν καὶ οἱ ἐπέκεινα ἄρχοντες τῶν πρὸς δύσιν παρακειμένων ἐθνῶν διὰ πρέσβεων δῶρα τῷ βασιλεῖ στείλαντες εἰρήνην 38 B ἐξήτησαν· ἐφ' οἷς εἴξαντος τοῦ βασιλέως εἰρήνη τὸ λοιπὸν καὶ γαλήνη ἔν τε τοῖς ἑῴοις ἔν τε τοῖς ἑσπερίοις ἐβραβεύετο. καὶ ταῦτα μὲν οὕτως ἔσχε.

Λεκτέον δὲ ἤδη περὶ τῆς τῶν λεγομένων Οὔννων καὶ Βουλγάρων ἀρχῆς καὶ καταστάσεως αὐτῶν. περὶ τὴν Μαιῶτιν λίμνην κατὰ τὸν Κώφινα ποταμὸν καθίσταται ἡ πάλαι καλουμένη μεγάλη Βουλγαρία καὶ οἱ λεγόμενοι Κότραγοι, ὁμόφυλοι αὐτῶν καὶ οὗτοι τυγχάνοντες. ἐν δὲ τοῖς Κωνσταντίνου χρόνοις ὃς κατὰ τὴν δύσιν ἐτελεύτα, Κοβρᾶτός τις ὄνομα κύριος γενόμενος τῶν φύλων τούτων τὸν βίον μεταλλάξας πέντε καταλιμπάνει υἱούς, ἐφ' οἷς διατίθεται μηδαμῶς τῆς ἀλλήλων ἀποχωρισθῆναι διαίτης, ὡς ἂν διὰ τῆς πρὸς ἀλλήλους εὐνοίας τὰ τῆς ἀρχῆς αὐτῶν διασώζοιτο. οὗτοι μικρὰ τῆς πατρικῆς φροντίσαντες παραινέσεως ὀλίγου παρῳχηκότος χρόνου διέστησαν ἀλλήλων, ἕκαστος αὐτῶν τοῦ λαοῦ ἴδιον μέρος ἀποτεμνόμενος. ὧν ὁ μὲν πρῶτος Βαϊανὸς υἱὸς λεγόμενος κατὰ τὰ ἐνταλθέντα fol. 195ᵛ αὐτῷ παρὰ τοῦ πατρὸς ἐν τῇ προγονικῇ γῇ διέμεινε μέχρι τοῦ δεῦρο, ὁ δὲ δεύτερος λεγόμενος Κότραγος τὸν Τάναϊν

13 καὶ *del.*? *cf.* p. 69, 3 15 *Κώφηνα* B *Κοῦφιν Theoph.* 545, 18 18 *Κοβρᾶτος*] *Κούβρατος* p. 24, 9 *Κροβάτου Theoph.* 546, 2 19 *ὀνόματι* c² *τοὔνομα vulg.* *φυλῶν* c *corr. vulg.* 21 *τῆς* c¹ *τοὺς* c 26 *Βαϊανὸς lit. factum ex Βασιανὸς cf.* p. 34, 18; 70, 28; 71, 4 *Βατβαιᾶν Theoph.* *υἱὸς Βασιανὸς* B *υἱὸς del.*?



Digitized by Google

περαιωθεὶς ποταμὸν ᾤκησε τούτων ἀντικρύ, ὁ δὲ τέταρτος τὸν Ἴστρον ποταμὸν διαβὰς ἐν Πανωνίᾳ τῇ νῦν ὑπὸ Ἀβάροις κειμένῃ αὐλίζεται ὑπόσπονδος τῷ ἐγχωρίῳ ἔθνει γενόμενος, ὁ δὲ πέμπτος κατὰ τὴν Ῥαβεννησίαν πεντάπολιν ἱδρυσάμενος ὑπόφορος Ῥωμαίοις ἐγένετο. τούτων ὁ λοιπὸς τρίτος ἀδελφὸς ὄνομα Ἀσπαροὺχ τὸν Δάναπριν καὶ τὸν
39 B Δάναστριν ποταμὸν περαιωθεὶς περὶ τὸν Ἴστρον οἰκίζεται, τόπον πρὸς οἴκησιν ἐπιτήδειον, Ὄγλον τῇ σφῶν καλούμενον φωνῇ, καταλαβόμενος, δυσχερῆ τε καὶ ἀνάλωτον πολεμίοις ὑπάρχοντα· ἀσφαλής τέ ἐστι τὰ μὲν ἔμπροσθεν τῇ τε δυσχωρίᾳ καὶ τῷ τελματώδης εἶναι τυγχάνων· τὰ δ' οὖν ὄπισθεν κρημνοῖς ἀβάτοις τετειχισμένα. οὕτω τοίνυν τοῦ ἔθνους διαιρεθέντος καὶ σκεδασθέντος, τὸ τῶν Χαζάρων φῦλον ἀπὸ τοῦ ἐνδοτέρου τῆς Βερυλίας λεγομένης χώρας ὡς πλησίον τῶν Σαρματῶν ᾠκημένον πλείστης ἀδείας ἐντεῦθεν ἐπέτρεχον. τὰ τοιαῦτα πάντα κατέδραμον χωρία τῆς ὑπὲρ Πόντου τὸν Εὔξεινον γῆς καὶ θαλάττης ἐπέρασε· μεθ' ὧν καὶ Βαϊανὸν ὑπεξούσιον ποιησάμενος εἰς ὑπαγωγὴν φόρων κατέστησε.

Κωνσταντῖνος δὲ ἐπειδὴ ἔγνω ὡς τὸ σκηνῶσαν τὸν Ἴστρον ἔθνος τὰ πλησιάζοντα τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς χωρία καταθέον διαφθείρειν ἐπεχείρει, στρατὸν ὁπλίτην ἐπὶ τὴν Θρᾳκῴαν διαβιβάσας χώραν, ἔτι τε καὶ στόλον ὁπλίσας

1 περαιωθεὶς $c^2$ περαιωθέν c 2 Ἴστρον c *item vv.* 7. 21 τῆς — κειμένης *corr. ex* τῆς — κειμένοις *nesc. q. m.* c τῇ — κειμένῃ *vulg.* 3 ἔθνει *vulg.* ἔθει c 6 ὀνόματι $c^2$ 8 Ὄγγλον *ut vid., Theoph.* 10 τέ ἐστι] γάρ ἐστι B 11 τελματώδεις c *corr. vulg.* τύγχανον *del. et post* τετειχισμένα *inser.* ἐτύγχανον? 12 τετειχισμένος B 14 ὑπὸ c *corr. vulg.* Βερξιλίας *Theoph.* 547, 9 λεγομένης B λεγδμενον c 15 μετὰ πλείστης B πλ. ἀδείας ἐπιλαβόμενον? *cf.* p. 18, 12; 51, 20 16 ἐπέτρεχεν· τὰ τοιαῦτα π. καταδραμὸν χ. τῆς ὑπερποντίου τοῦ Εὐξείνου γῆς καὶ θ. ἐπηρέασε? *coll.* p. 67, 13 ὑπὲρ πόν||πόντου c πόν *del.* $c^2$ 18 ἀπαγωγὴν B *cf.* p. 15, 3 20 περὶ τὸν B παρὰ τὸν? *cf.* p. 73, 12

Digitized by Google

κατὰ τοῦ ἔθνους ὡς ἀμυνόμενος ᾤχετο. οἱ δὲ Βούλγαροι τῶν τε ἱππικῶν καὶ πλοΐμων τὰ πλήθη θεασάμενοι καὶ τῷ αἰφνιδίῳ καὶ ἀνελπίστῳ καταπλαγέντες πρὸς τὰ ἑαυτῶν ὀχυρώματα ἔφυγον, τέτρασιν ἡμέραις ἐκεῖσε ὑπομείναντες· καὶ τῶν Ῥωμαίων μὴ δυνηθέντων αὐτοῖς πολέμῳ συμμῖξαι διὰ τὴν δυσχωρίαν τοῦ τόπου, ἀνελάμβανόν τε αὐτους καὶ προθυμότεροι ἐγίνοντο. ὁ δὲ βασιλεὺς νόσῳ ποδαλγικῇ συσχεθεὶς καὶ ὀξυπαθήσας ἐπὶ Μεσήμβριαν τὴν πόλιν ἀπέπλει θεραπείας ἕνεκεν, προστάξας τοῖς ἄρχουσι καὶ τοῖς λαοῖς προσεδρεύειν τῷ ὀχυρώματι καὶ ὅσα πρὸς ἄμυναν τοῦ ἔθνους κατεργάσασθαι. φήμη δέ τις ἐδέδοτο τὸν βασιλέα φεύγειν μηνύουσα, δι' ἣν θορυβηθέντες οὐδενὸς διώκοντος συντόνως ἔφευγον. οἱ δὲ Βούλγαροι ἐπιδόντες ἐπεδίωκον καρτερῶς, καὶ ὅσους μὲν τοῦ λαοῦ κατελάμβανον ἀνῄρουν, πλείστους δὲ καὶ ἐτραυμάτιζον. περαιωθέντες δὲ τὸν Ἴστρον ἐπὶ τὴν λεγομένην Βάρναν πλησίον Ὀδύσσου καὶ τοῦ ὑπερκειμένου μεσογαίου, τὸ ὀχυρὸν καὶ ἀσφαλὲς τοῦ τόπου πάντοθεν ἔκ τε τοῦ ποταμοῦ καὶ τῆς ἄγαν δυσχωρίας θεασάμενοι ἐνταῦθα σκηνοῦσι. κρατοῦσι δὲ καὶ τῶν [ἐγγιζόντων] παρωκημένων Σκλαβηνῶν ἐθνῶν, καὶ οὓς μὲν τὰ πρὸς Ἀβάρους πλησιάζοντα φρουρεῖν, οὓς δὲ τὰ πρὸς Ῥωμαίους ἐγγίζοντα τηρεῖν ἐπιτάττουσιν. ἐν τούτοις ὀχυρωθέντων καὶ αὐξηθέντων τὰ ἐπὶ Θρᾴκης χωρία τε καὶ πολίσματα καταδηοῦν ἐπεχείρουν. τῷ βασιλεῖ δὲ ἀνάγκη ἦν ταῦτα ὁρῶντι ἐπὶ τελέσμασι πρὸς αὐτοὺς σπένδεσθαι. 40 B fol. 196r

Οὕτω τοιγαροῦν εἰρηνευούσης πάντοθεν τῆς Ῥωμαίων βασιλείας ἡ τῶν Μονοθελητῶν δυσσεβὴς αἵρεσις ἐκρατύνετο, ἤδη τῶν ἀφ' Ἡρακλείου τοῦ βασιλέως χρόνων λαβοῦσα τὴν

1 ἀμυνούμενος B 6 αὐτοὺς c 11 διεδέδοτο B 12 συντόμως c *corr. vulg.* 13 ἔφυγον B 15 περαιωθέντ[ων] δὲ τ[οῦ] Ιστρ[ου] c 16 Βαρνᾶν c *corr.* B Ὀδυσσοῦ *vulg.* Ὀδησσοῦ B *cf. Theoph.* 549, 5 19 ἐγγιζόντων *uncis includit* B 20 πανωκημένων (*sic*) c παρακειμένων *Theoph.* 549, 9



Digitized by Google

a. 680 ἀρχήν· καὶ σχίσμα ἦν περὶ τὴν καθολικὴν ἐκκλησίαν. ταῦτα διαγνοὺς Κωνσταντῖνος σύνοδον οἰκουμενικὴν συγκροτεῖ, ἣ τὰς μὲν προλαβούσας πέντε ἁγίας οἰκουμενικὰς συνόδους ἐκύρωσε καὶ τὰ δύο ἐπὶ τοῦ σωτῆρος Χριστοῦ θελήματα
41 B καὶ δύο φυσικὰς ἐνεργείας, τέλειον αὐτὸν ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι διατρανώσασα καὶ τῷ ἀναθέματι τοὺς τῆς αἱρέσεως ἄρξαντας παραπέμψασα. οὕτως ἐν γαλήνῃ καὶ εἰρηνικῇ καταστάσει τὸ λοιπὸν τῆς ζωῆς διατελέσας
a. 685 τῷ ἑπτακαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐτελεύτα. καὶ κατατίθεται αὐτοῦ τὸ λείψανον ἐν τοῖς βασιλείοις τῶν ἁγίων ἀποστόλων μνήμασι.

Καταλιμπάνει δὲ εἰς τὴν βασιλείαν τὸν υἱὸν Ἰουστινιανὸν ἑκκαιδέκατον ἔτος τῆς ἡλικίας ἄγοντα, ὃς τῆς βασιλείας ἐπιλαβόμενος τὰ ὑπὸ τοῦ πατρὸς τῆς εἰρήνης ἕνεκεν καὶ τῆς ἄλλης πολιτικῆς εὐταξίας βραβευθέντα διέστρεφε. μεθ' ὧν λύει καὶ τὴν πρὸς τοὺς Βουλγάρους γενομένην εἰρήνην. ἱππικὰ δὲ στρατεύματα πρὸς τοῖς Θρᾳκῴοις διαγαγὼν χωρίοις κατὰ τῶν Σκλαβηνῶν εὐθέως ὥρμησε. μέχρι δὲ Θεσσαλονίκης ἐκδραμὼν πόλεως, πολλὰ τῶν ἐκεῖσε Σκλαβηνῶν γένη τὰ μὲν πολέμῳ τὰ δὲ ὁμολογίᾳ παραλαβών, εἰς τὴν τοῦ Ὀψικίου λεγομένην χώραν διὰ τῆς Ἀβύδου διαβιβάσας κατέστησεν. ἐξ ὧν στρατεύει ἄχρι καὶ εἰς τριάκοντα χιλιάδας λαόν, οὓς ἐξοπλίσας λαὸν ἐκάλεσε περιούσιον, ἄρχοντα αὐτοῖς ἐκ τῶν εὐγενεστέρων ἐπιστήσας Νεβοῦλον τοὔνομα. εἰς οὓς θαρρήσας λύει τὴν πρὸς τοὺς Σαρακηνοὺς παρὰ τοῦ πατρὸς γενομένην εἰρήνην, μεθίστησι δὲ καὶ τοὺς ἐν τῷ ὄρει τοῦ Λιβάνου λοχοῦντας ἐκ παλαιοῦ χρόνου ὁπλίτας. ἐκστρατεύει δὲ κατ' αὐτῶν, καὶ κατὰ τὴν Σεβαστόπολιν γίνεται. καὶ αὐτοὶ δὲ ἐπιστρατεύσαντες πρὸς αὐ-
fol. 196ᵛ τοὺς παραγίνονται· καὶ τὰ μὲν τῆς εἰρήνης φυλάττεσθαι

12 Ἰουστινιανὸν c² Ἰουστιανὸν c 18 εὐθ[έως] c
19 Θεσσαλονικῆς c 22 εἰς B ἕως c 24 *Νέβουλον Theoph.* 560, 2

βέβαια παρ' αὐτῶν ἔφασκον, εἰ δὲ βούλοιντο διαστρέφειν 42 B
Ῥωμαῖοι, θεὸν κριτὴν τῶν αἰτίων γίνεσθαι. Ἰουστινιανοῦ
δὲ μᾶλλον τῆς μάχης αἱρουμένου, οὗτοι τὸν τῆς εἰρήνης
ἔγγραφον λόγον ἐφ' ὑψηλοῦ ἀναρτήσαντες σημείου προάγειν
ἐκέλευον, καὶ δὴ κατὰ Ῥωμαίων ἐχώρουν. οἱ δὲ εἰς φυγὴν
ἐτράποντο. καὶ ὁ κληθεὶς περιούσιος τῶν Σκλάβων λαὸς
τοῖς Σαρακηνοῖς προστίθεται, καὶ σὺν αὐτοῖς Ῥωμαίους
ἀνῄρουν. ἐξ οὗ πλεῖον προσκτησάμενοι θάρσος πλειόνως
τὴν Ῥωμαίων ἀρχὴν ἐλυμαίνοντο. καὶ τὰ μὲν πρὸς τὸ
ἔθνος οὕτω πως ἔσχεν.

Ἐς δὲ τὰς πολιτικὰς ἀρχὰς καθίστα ἄνδρας ἀπηνεῖς
καὶ ὠμοτάτους, ὧν ἦν Στέφανος εὐνοῦχος Πέρσης, ταμίας
τῶν βασιλικῶν χρημάτων· καὶ πολλὰ τοὺς ὑπὸ χεῖρα αἰκι-
ζόμενος ἄχρι καὶ εἰς τὴν μητέρα Ἰουστινιανοῦ τὴν τόλμαν
ἐξήνεγκε, μάστιγας αὐτῇ ἐν σχήματι ὥσπερ τοὺς παῖδας οἱ
γραμματισταὶ ἐπιθέμενος. Θεόδοτον δέ τινα μοναχόν, ἐγ-
κλειστὸν τὸ πρότερον κατὰ τὰ Θρᾳκῶα τοῦ Στενοῦ λεγομέ-
νου πόρου γεγονότα, τῶν δημοσίων λογιστήν, ὃν τὸ δημῶδες
γενικὸν λογοθέτην καλοῦσι, κατέστησεν, ὃς ὑπερβολῇ ὠμότητος
οὐ τοὺς ὑπ' αὐτὸν μόνον χρήματα ἔπραττε, μετεώροις σχοι-
νίοις ἀναρτῶν καὶ ἀχύροις περικαπνίζων, ἀλλ' ἤδη καὶ
ἑτέρους περιφανεστέρους ἄνδρας δημεύων καὶ ἀφορήτους
ποινὰς ἐπιφέρων ἀπέκτεννεν.

Λεόντιον δέ τινα πατρίκιον ἐκ τῆς τῶν Ἰσαύρων ὁρ- a. 695
μώμενον χώρας καὶ στρατηγὸν γενόμενον τοῦ ἀνατολικοῦ
καλουμένου στρατεύματος, εὐδόκιμόν τε ἐν πολλοῖς πολλάκις 43 B
γενόμενον, καὶ αὐτὸν ὑποφρούριον τρισὶ χρόνοις Ἰουστι-

1 δια[στρέ]φειν c 3 τὴν μάχην B 11 ἐς *Suid.* v. Ἰουστινιανὸς εἰς c καθίστη *Suid.* 12 ὁ εὐνοῦχος *Suid.* 13 ὃς πολλὰ B καὶ π. *etiam Suid.* 14 τόλμην *Suid.* 15 αὐτῃ c² αὐτῆς c 19 γενικὸν *add. ex Suid. cf. Theoph.* 562, 10 *om.* c 20 τοῖς c *item* p. 46, 29 *corr. vulg.* 22 περιφανεστάτους *Suid.* 23 ἀπέκτεινεν *vulg. et Suid.* 26 ἐν πολλοῖς] ἐν πολέμοις? *cf. Theoph.* 564, 2 27 ὑπόφρουρον *Suid.*

Digitized by Google

νιανὸς ἐποίησεν· εἶτα τῆς φρουρᾶς λύσας στρατηγὸν τῆς Ἑλλάδος προβάλλεται, αὐθημερὸν ἀναγκάσας τοῦ Βυζαντίου ἀπαίρειν. πρὸς ὃν γίνονται φίλοι τυγχάνοντες ἀωρὶ τῆς νυκτὸς Παῦλός τις μοναχὸς τῆς Καλλιστράτου μονῆς ὑπάρχων, ἀστρονόμος τὴν ἐπιστήμην, καὶ Γρηγόριος μοναχος καὶ ἡγούμενος ἐν τῇ Φλώρου μονῇ, Καππαδόκης τὸ γένος, ὡς προπέμψοντες. αὐτὸς δὲ ἰδὼν ἐνεκάλει λέγων ὡς "μάτην μοι τὰ τῆς βασιλείας προεμαντεύσασθε· νῦν γὰρ ἐνθένδε ἀποχωροῦντα τὸ τέλος με τῆς ζωῆς πικρὸν καταλήψεται". οἱ δὲ τῆς ὁδοῦ εἶργον, βέβαια παρεχόμενοι ⟨ὡς⟩ εἰ μὴ ὀκνήσειεν τῆς ἐξουσίας κρατήσειεν. τούτοις πεισθεὶς εὐθὺς ἐπικομίζων τινὰς τῶν ὑπηρετῶν ἔτι τῆς νυκτὸς ἐφισταμένης καὶ ὅπλα ἀνελόμενος εἰς τὸ πραιτώριον ἄνεισιν ἡσυχῇ. καὶ σημηνάντων ὡς τὸν βασιλέα παρεῖναι ἐν τοῖς ἐκεῖσε πρᾶξαι τὰ κατὰ γνώμην, ὁ τοῦ πραιτωρίου ὕπαρχος ὑπήντα διανοιγνὺς τὰς πύλας· ὃν αὐτίκα χεῖρας καὶ πόδας ἐπέδησεν. ἐντὸς δὲ γενόμενος Λεόντιος πάντας τοὺς καθειργμένους ἔλυσε καὶ ὁπλίσας ἐπὶ τὸν καλούμενον Φόρον
fol. 197r ἐξώρμησε· κἀκεῖθεν σκεδαννυμένους ἀνὰ πάντα μέρη τῆς πόλεως βοῇ κράζειν ἐκέλευσε πάντας Χριστιανοὺς εἰς τὸ ἱερὸν τῆς Σοφίας παραγενέσθαι. ἐξ ὧν πᾶν τὸ πλῆθος θορυβηθὲν σπουδῇ πρὸς τὸν λουτῆρα τῆς ἐκκλησίας ἠθροίζετο. ὁ δὲ σὺν τοῖς μοναχοῖς καὶ ἑτέροις τῶν φίλων πρὸς Καλλίνικον τὸν τηνικαῦτα ἱεράρχην τῆς πόλεως ἔρχεται, καὶ
44 B βιάζεται κατελθεῖν καὶ φωνῆσαι πρὸς τὸν λαόν "αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος". τὸ δὲ πλῆθος Ἰουστινιανὸν ἐδυσφήμει. καὶ οὕτως ἅπαντες ἐπὶ τὸν χῶρον τῆς ἱπποδρομίας ᾤχοντο. ἡμέρας δὲ ἐπιγενομένης ἐκφέρουσιν Ἰουστινιανὸν πρὸς αὐτούς. καὶ τῆς πληθύος βοώσης βασιλέα

1 στρατηγὸν Ἑλλάδος *Suid. Theoph.* 564, 4 3 ἄωρ[ον] c *accentu sec. m. add.* ἀωρὶ B 10 ὡς *add. vulg. om.* c 12 ἐφισταμένης *vulg.* ἐπισταμένης c ἐνισταμένης? 13 πραιτωρίου P πραίτωρος c 19 σκεδαννυμένους B σκεδαννύμενοι c

Digitized by Google

ξίφος διαδέχεσθαι, Λεόντιος τοῦ αἵματος αὐτοῦ φεισάμενος διὰ τὴν πρὸς Κωνσταντῖνον τὸν πατέρα αὐτοῦ ἀγάπην, τεμὼν τὴν γλῶτταν καὶ τὴν ῥῖνα ἐν Χερσῶνι τῇ πόλει ἐξώρισε, δέκατον ἤδη ἔτος ἐν τῇ βασιλείᾳ διανύσαντα. Λεόντιος δὲ ὑπὸ τοῦ πλήθους βασιλεὺς ἀναγορεύεται. Στέφανον δὲ τὸν εὐνοῦχον καὶ Θεόδοτον τὸν μοναχόν, δι' ἣν ὑπέμεινε παρ' αὐτῶν κάκωσιν, καὶ ἄκοντος τοῦ βασιλέως συλλαβόμενοι καὶ τῶν ποδῶν ἐξαναρτήσαντες διὰ σχοίνων συρέντας πρὸς τὴν καλουμένην τοῦ Βοὸς ἀγορὰν πυρὶ παραδεδώκεσαν. καὶ τὰ μὲν ἐν Κωνσταντινουπόλει οὕτω διέκειντο.

Ἡ δὲ ὑπὸ Ἀφρικὴν Καρχηδὼν πρώην ὑπὸ Ῥωμαίοις τελοῦσα τότε ὑπὸ χεῖρα τῶν Σαρακηνῶν γίνεται, πολέμῳ παρ' αὐτοῖς ληφθεῖσα. τοῦτο διαγνοὺς Λεόντιος ἅπαντα τὰ Ῥωμαϊκὰ ἐξώπλισε πλόϊμα, στρατηγόν τε ἐπ' αὐτοῖς Ἰωάννην τὸν πατρίκιον ὡς ἔμπειρον τῶν πολεμίων προχειρισάμενος πρὸς Καρχηδόνα κατὰ τῶν Σαρακηνῶν ἐξέπεμψεν· ὃς ἐκεῖσε παραγενόμενος τοὺς μὲν ἐν αὐτῇ τῶν Σαρακηνῶν πολέμῳ ἐτροπώσατο, τὴν δὲ πόλιν Ῥωμαίοις ἀνεσώσατο, καὶ τἆλλα πάντα τὰ ἐκεῖσε πολίσματα τῆς τοῦ ἔθνους ἀπαλλάξας ἐξουσίας καὶ στρατὸν ὁπλίτην πρὸς φυλακὴν ἐν αὐτοῖς ἐγκαταλείψας αὐτοῦ διεχείμαζεν. ὁ δὲ τῶν Σαρακηνῶν βασιλεὺς ταῦτα μεμαθηκὼς πλείονα κατ' αὐτοῦ ἐκίνησε πόλεμον, δι' οὗ καὶ τὸν μὲν Ἰωάννην σὺν τῷ περιόντι αὐτῷ Ῥωμαϊκῷ στόλῳ ἐξώθησε, καὶ τὴν Καρχηδόνα παραλαμβάνει πάλιν καὶ τὰ περὶ αὐτὴν πολίσματα. ὁ δὲ Ἰωάννης ἀφορμήσας πρὸς βασιλέα ἀνήγετο, ἐν δὲ τῇ νήσῳ Κρήτῃ γενόμενος ὑπό τε τῶν ἀρχόντων καὶ τοῦ στρατιωτικοῦ πλήθους ἐστασιάζετο, ὡς οὐδαμῶς βουληθεὶς αἰσχύνῃ καὶ δέει κατεχόμενος πρὸς βασιλέα παραγενέσθαι. διὰ τοῦτο Λεόντιον μὲν

a. 697

45 B

a. 698

6 *Θεοδόσιον* c *Θεόδοτον* B *cf.* p. 37, 16. *Theoph.* 566, 7
12 *Καλχηδών* c *corr. vulg.* 24 *παροντι* B *sed cf.* p. 59, 19; 73, 11

Digitized by Google

δυσφημοῦντες ἀθετοῦσι, ψηφίζονται δὲ Ἀψίμαρον ὄνομα, στρατοῦ ἄρχοντα τῶν Κουρικιωτῶν τυγχάνοντα τῆς ὑπὸ Κιβυραιωτῶν χώρας, ὃν δρουγγάριον Ῥωμαίοις καλεῖν ἔθος,
fol. 197v Τιβέριον αὐτὸν ἐπονομάσαντες. ἐν δὲ τῷ μεταξὺ νόσος λοιμικὴ τῇ πόλει ἐπέσκηψε καὶ πλῆθος λαοῦ ἐν μησὶ τέτρασι διέφθειρεν. Ἀψίμαρος δὲ σὺν τῷ συνόντι αὐτῷ στόλῳ εἰς Βυζάντιον ἀναχθεὶς ἀντικρὺ τῆς πόλεως ἐν Συκαῖς λεγομένῳ παραθαλασσίῳ χωρίῳ προσορμίζεται. ἐπὶ χρόνον δέ τινα πόλεμον συμβαλὼν τοῖς ἐν τῇ πόλει, τέλος τοὺς ὑπὸ τοῦ τείχους Βλαχερνῶν φρουροὺς καὶ τοὺς τούτων ἄρχοντας ὑποφθείρας δόλῳ ὑπ' αὐτῶν παραλαμβάνει τὴν πόλιν. καὶ ὁ σὺν αὐτῷ στρατὸς εἰσελθὼν τὰ χρήματα τῶν πολιτῶν διήρπαζε. Λεόντιον δὲ χειρωσάμενος τρίτον ἔτος ἐν τῇ βασιλείᾳ διάγοντα τὴν ῥῖνα αὐτοῦ ἐξέτεμε, καὶ ἐν τῷ καλουμένῳ τῆς Δελμάτου μοναστηρίῳ ἡσυχάζειν προσέταξε.

a. 704 Καὶ οὕτω μὲν ταῦτα ἐπ' αὐτοῖς συνέβαινεν· Ἰουστινιανὸς δὲ ἐπεὶ πρὸς τῇ Χερσῶνι διέτριβε, συχνότερον δημη-
46 B γορῶν ὡς πάλιν κρατήσειν τῆς βασιλείας ἐπαρρησιάζετο. οἱ δὲ ὧδε πολῖται κίνδυνον ἑαυτοῖς ὑπονοούμενοι ἐβουλεύσαντο αὐτὸν ἀνελεῖν ἢ δεσμώτην πρὸς Ἀψίμαρον ἀναπέμπειν. αὐτὸς δὲ τοῦτο αἰσθόμενος ἐκεῖθεν διέφυγε καὶ εἰς τὸ φρούριον τὸ λεγόμενον Δόρος πρὸς τῇ Γοτθικῇ κείμενον χώρᾳ ἀπέδρασεν. αἰτεῖ δὲ τὸν τῶν Χαζάρων ἡγεμόνα (χαγάνους δὲ τούτους αὐτοὶ καλοῦσιν) ὡς αὐτὸν παραγενέσθαι. ὁ δὲ τῇ αἰτήσει εἶξε καὶ αὐτὸν μετὰ τιμῆς ἐδέξατο, καὶ φιλιωθεὶς αὐτῷ τὴν ἑαυτοῦ ἀδελφὴν Θεοδώραν καλουμένην εἰς γυναῖκα ἐξέδοτο. ὁ δὲ τῇ αὐτοῦ συναινέσει ἐν Φαναγώρῃ ἐλθὼν σὺν αὐτῇ διέτριβε. ταῦτα διαγνοὺς Ἀψίμαρος

1 Ἀψίμαρον c *ubique corr.* B 4 μετονομάσαντες *cum Theoph.* 567, 19? 10 ὑπὸ] ἐπὶ B 19 κρατήσει *vulg.* κρατήσων? 23 Δαρᾶς P *cum Theoph.* 571, 3 24 τὸν τὸν *X.* c 28 Φαναγόρῃ B Φαναγουρίαν *Theoph.*

Digitized by Google

ἐνέκειτο συχνῶς τὸν τῶν Χαζάρων ἄρχοντα ἐκλιπαρῶν, πλεῖστα δὲ χρήματα καὶ δῶρα ὑπισχνεῖτο, εἰ ζῶντα Ἰουστινιανὸν ἢ τὴν κεφαλὴν αὐτῷ ἐκπέμψαι. ὁ δὲ ταῖς πολλαῖς εἴξας παρακλήσεσιν ὑπέσχετο τοῦτο πληροῦν. πέμπει οὖν ἄνδρας εἰς φυλακὴν αὐτοῦ καθεστάναι, τῷ μὲν προσχήματι ὡς μὴ ὑπὸ τῶν ὁμοφύλων ἐπιβουλευθείη, τῷ ὄντι δὲ [φυλάσσειν], ὡς μὴ ἀποδράσαι ποτὲ προασφαλιζόμενος. κελεύει δὲ τῷ ἄρχοντι τῶν ὁμοεθνῶν, ᾧκειωμένῳ δὲ Ἰουστινιανῷ ὄντι, ἔτι δὲ καὶ τῷ ἄρχοντι τῷ τοῦ Βοσπόρου τοῦ Σκυθικοῦ ἐπιτηρεῖν ἡνίκα αὐτοῖς ἐπιτρέψει ἀνελεῖν αὐτὸν ὡς τάχιστα. ταῦτα δὲ μηνύεται Θεοδώρᾳ παρά τινος τῶν τοῦ πατρὸς οἰκετῶν· ἡ δὲ τὰ τῆς ἐπιβουλῆς τῷ ἀνδρὶ ἀνετίθει. καὶ αὐτὸς τὸν οἰκεῖον ἐκεῖνον τὸν Χάζαρον καλέσας καὶ ἀπιδιάσας μετ' αὐτοῦ ἀγχόνῃ παρέδωκε, τῷ αὐτῷ τε τρόπῳ ἀναιρεῖ καὶ τὸν Βοσπόρου ἄρχοντα. εὐθὺς δὲ Θεοδώραν 47 B
τὴν γαμετὴν πρὸς τὸν πατέρα ἐκπέμπει, αὐτὸς δὲ ἀπάρας εἰς Τόμιν καλούμενον παραθαλάσσιον χωρίον κατῆλθε. κἀκεῖσε νηῒ ἐπιβὰς σὺν ἑτέροις τισὶν ἀνδράσι καὶ ταύτην παραπλεύσας ἦλθε μέχρι Συμβόλου τῇ πόλει πλησιάσας Χερσῶνι. καὶ προσορμίσας τῷ ἐκεῖσε λιμένι πέμπει ἕνα τῶν fol. 198
ἑταίρων ἐπὶ τῇ πόλει, κἀκεῖθεν ἄγει πρὸς αὐτὸν τὸν Βαρασβακούριον καὶ τὸν τούτου ἀδελφὸν τόν τε Σαλιβᾶν καὶ ἑτέρους τινὰς ἄνδρας. καὶ σὺν αὐτοῖς ἐκπλεύσας, τὰ λεγόμενα Νεκρόπηλα παρελθὼν πρὸς τὸν Ἴστρον ποταμὸν παραγίνεται. ἐκεῖθεν ἐκπέμπει τῶν συνόντων τινὰ Στέφανον πρὸς Τέρβελιν κύριον ὄντα τηνικαῦτα τῶν ἐκεῖσε Βουλγάρων, παρακαλῶν συλλαβέσθαι αὐτῷ ὥστε τὸν τῆς βασιλείας ἀπο-

2 εἰ *vulg.* ἢ c 6 φυλάσσειν *del.*? 10 αὐτοῖς] αὐτοὺς c 18 ταύτην] τὴν ἀκτὴν P καὶ παραπλεύσας τὴν Ἀσάδα *sive* Ἀσσάδα *codd. Theoph.* 572, 4 *sed Anastasius* iuxta litora *vertit* 20 προσορμήσας c *corr. vulg.* 21 Βαρασβακούριον c Βασβακούριον *codd. Theoph.* Barisbacurius A 24 Ἴστρον c *corr. vulg.*

Digitized by Google

λήψεσθαι θρόνον, ἄλλα τε πλεῖστα δῶρα ὑποσχόμενος καὶ τὴν ἑαυτοῦ θυγατέρα εἰς γυναῖκα αὐτῷ δώσειν ἐπαγγειλάμενος. ὁ δὲ προθύμως ἐν πᾶσιν ὑπεῖκε, καὶ Ἰουστινιανὸν σὺν τιμῇ μεγάλῃ ἐδέξατο, καὶ ἅπαντα τὸν ὑπ' αὐτῷ λαὸν ὁπλίσας σὺν αὐτῷ ἐπὶ τὴν βασιλεύουσαν ᾤχετο. προσεδρεύει δὲ τῷ τείχει Βλαχερνῶν ἐπὶ τρισὶν ἡμέραις, ἀξιῶν τοὺς τῆς πόλεως εἰσδεχθῆναι αὐτὸν βασιλέα. οἱ δὲ αἰσχρῶς ὑβρίζοντες ἀπέπεμπον. ὁ δὲ νυκτὸς εἰσδύεται σὺν ὀλίγοις τισὶ κατὰ τὸν τῆς πόλεως ἀγωγὸν κἀντεῦθεν παραλαμβάνει τὴν πόλιν καὶ πρὸς βραχὺ σκηνοῦται ἐν τῷ παλατίῳ Βλαχερνῶν. Ἡράκλειον δὲ τὸν ἀδελφὸν Ἀψιμάρου στρατηγὸν τοῦ ἀνατολικοῦ στρατοῦ γενόμενον καὶ τοὺς ἄλλους ἄρχοντας καὶ ὑπασπιστὰς αὐτοῦ πρὸς τῷ τείχει ἐπὶ ξύλου ἀνήρτησεν.

48 B Ἀψίμαρον δὲ συλλαβὼν ἕβδομον ἔτος ἐν τῇ βασιλείᾳ διανύσαντα, ἔτι δὲ καὶ Λεόντιον σιδήροις πεδήσας κατέσχεν ἐν εἱρκτῇ· μετὰ δὲ ταῦτα ἱππικὸν ἐπιτελέσας ἀγῶνα, θάτερον μὲν ἐκ δεξιῶν θάτερον δὲ ἐξ ἀριστερῶν πρὸς τοῖς ποσὶν αὐτοῦ πατεῖσθαι ῥίψας ἐπὶ ὥρας βραχείας, μετὰ ταῦτα ἐκπέμπει ἐν τῷ καλουμένῳ Κυνηγίῳ τμηθῆναι τὰς κεφαλάς. τὸν δὲ Βουλγάρων ἄρχοντα Τέρβελιν ἔξω τείχους Βλαχερνῶν σκηνούμενον πολλὰ φιλοφρονησάμενος, τέλος παραγενόμενον πρὸς αὐτὸν χλανίδα τε περιβάλλει βασιλικὴν καὶ Καίσαρα ἀναγορεύει, καὶ συμπάρεδρον ποιησάμενος προσκυνεῖσθαι σὺν αὐτῷ ὑπὸ τοῦ λαοῦ ἐκέλευε, καὶ πλεῖστα παρασχόμενος δῶρα πρὸς τὰ ἑαυτοῦ ἐξέπεμπε. Καλλίνικον δὲ
a. 705 τὸν τῆς πόλεως ἱεράρχην, ὡς δυσφημήσαντα αὐτὸν ἐπὶ τῇ τοῦ Λεοντίου ἀναγορεύσει, τυφλώσας ἐν τῇ Ῥώμῃ ἐξέπεμψε, Κῦρον ἀντ' αὐτοῦ εἰς τὴν ἱερωσύνην προχειρισάμενος τὸν ἐν Ἀμάστριδι ἐγκλειστὸν γενόμενον, προσημάναντα αὐτῷ ἐκεῖσε παριόντι τὴν τῆς δευτέρας βασιλείας κατάστασιν. πο-

29 ἔγκλειστον c *corr. vulg.* 30 ἀποκατάστασιν *Theoph.* 574, 15

Digitized by Google

λύν τε φόνον καὶ κάκωσιν ἐν τοῖς ὑπηκόοις ἐποιεῖτο· τοὺς μὲν γὰρ εἰς ἄρχοντας προβαλλόμενος αὐτίκα ἑτέρους ὄπισθεν ἐκπέμπων ἀνῄρει, οὓς δὲ ἐν δείπνῳ συγκαλῶν δόλῳ ἀπέκτεινεν, ἄλλους ἐν τῷ βυθῷ σάκκοις ἐμβαλὼν ἀπέρριπτε, καὶ
5 συνελόντα εἰπεῖν, ὠμότητι πολλῇ καὶ θηριώδει γνώμῃ πρὸς fol. 198ᵛ
τὸ ὑπήκοον διακείμενος. ἐν τούτοις δὲ μεταστέλλεται ἀπὸ Χαζαρίας Θεοδώραν τὴν ἑαυτοῦ γαμετὴν καὶ Τιβέριον τὸν ἐξ αὐτῆς τεχθέντα αὐτῷ υἱόν, καὶ στέφει αὐτοὺς εἰς βασιλέας. μετὰ τοῦτο λύει τὴν πρὸς τοὺς Βουλγάρους εἰρήνην, a. 707
10 καὶ στρατεύματα πλεῖστα διά τε γῆς καὶ θαλάσσης πρὸς 49 B
τοῖς Θρᾳκῴοις μέρεσι διαγαγὼν πρὸς τῇ Ἀγχιάλῳ πόλει ὡς πολεμήσων αὐτοὺς παραγίνεται. ἀφυλάκτως δὲ τοῦ λαοῦ πρὸς τὰ ἐκεῖσε πεδία ἐπὶ κομιδῇ χόρτου σκεδαννυμένου ἐπιπίπτουσιν ἀθρόως οἱ Βούλγαροι καὶ πολλοὺς αὐτῶν
15 διαφθείρουσι, πολλοὺς δὲ καὶ αἰχμαλώτους εἷλον. καὶ Ἰουστινιανῷ ἐν τῇ πόλει Ἀγχιάλῳ ἀπολειφθέντι ἐπὶ τρισὶν ἡμέραις προσεδρεύουσιν. ὁ δὲ νυκτὸς ναυσὶν ἐπιβὰς φυγῇ ἐκεῖθεν ἀπέπλευσε καὶ εἰς Βυζάντιον ἐπανάγεται.

Ἐν τούτοις ὄντων τῶν πραγμάτων ὁ τῶν Σαρακηνῶν a. 708
20 βασιλεὺς λαὸν πλεῖστον ὁπλίτην ἐκπέμπει, ἡγεμόνας αὐτοῖς ἐπιστήσας Μασαλμᾶν καὶ Σολυμᾶν κατὰ τὴν αὐτῶν διάλεκτον καλουμένους, ὡς τὰ Τύανα τὴν πόλιν πολιορκήσοντας. οἱ δὲ ἐκεῖσε παραγενόμενοι, πολέμους πλείστους συνάψαντες, μέρος δὲ καὶ τοῦ τείχους ἐκ τῶν πρὸς τειχομαχίαν
25 ὀργάνων καταβαλόντες καὶ πλέον οὐδὲν ἀνύσαι ἰσχύσαντες, ἀποχωρεῖν πρὸς τὰ οἰκεῖα ἐβούλοντο. ἐν ᾗ ἐκπέμπει Ἰουστινιανὸς πρὸς τῇ μεσογείᾳ, καὶ πλεῖστον λαὸν ἄγροικόν τε καὶ γεωργικὸν ἀθροίσας πρὸς τὰ Τύανα ἀφικνεῖσθαι ἐκέλευσεν ὡς τοὺς πολιορκουμένους ἐπαμυνόμενος. τούτους
30 ὁπλους οἱ Σαρακηνοὶ θεασάμενοι ὁρμῶσι κατ' αὐτῶν, καὶ

1 οὓς μὲν? 7 *Χαζαρίαν* c *corr. vulg.* 14 αὐτοὺς c *corr.* B 21 *Σολιμᾶν* p. 53, 17 22 *Τοίανα* c *ubique in seqq. corr. vulg.* 29 τοῖς πολιορκουμένοις ἐπαμυνούμενος B

Digitized by Google

τοὺς μὲν ξίφει ἀνεῖλον τοὺς δὲ αἰχμαλώτους συνέλαβον. ἐντεῦθεν θαρραλεώτερον διατεθέντες τῆς προσεδρίας Τυάνων εἴχοντο. οἱ δὲ ἀπορίᾳ δαπανημάτων τῶν πρὸς μάχην ἀπειπόντες τῆς τε παρὰ βασιλέως βοηθείας οὐκ εὐπορήσαντες, ὁμολογίᾳ ἑαυτοὺς τοῖς ἐχθροῖς παρέδοσαν καὶ πρὸς τὰ τῶν
50 B Σαρακηνῶν ἤθη ἀπῴκοντο. ἐξ ἐκείνου λοιπὸν πλείστη τοῖς ἐχθροῖς παρρησία ἐδέδοτο ἀδεῶς τὰς Ῥωμαίων καταληΐζεσθαι χώρας, οὐδενὸς τούτοις ἰσχύοντος ἀντιτάττεσθαι, καί τινα τούτων ἀποδασμὸν εἰς τριάκοντα ἄνδρας περιστάμενον ἄχρι Χρυσοπόλεως κατελθεῖν (παραθαλάσσιον χωρίον ἀντικρὺ Βυζαντίου πρὸς ἥλιον ἀνίσχοντα ἱδρυμένον), καὶ τοὺς μὲν αὐτόσε οἰκήτορας ἀποσφάξαι, τὰς δὲ πορθμίδας ἐμπρῆσαι ναῦς.

a. 710 Ἰουστινιανὸς δὲ ἐν μνήμῃ ἔχων περὶ τῆς γενομένης αὐτῷ πρὸς Ἀψίμαρον παρὰ τῶν ἐν Χερσῶνι διαβολῆς, ναῦς
fol. 199r πολὺ πλείστας καὶ διαφόρους συναγείρας, ἐμβιβάσας παρ' αὐτοῦ ἄχρις εἰς ἑκατὸν χιλιάδας ἀριθμὸν ἀνδρῶν, εἰδότας ἔκ τε τῶν στρατιωτικῶν καταλόγων, ἔτι δὲ καὶ τοῦ γεωργικοῦ καὶ τῶν βαναυσικῶν τεχνῶν τῶν τε ἐκ τῆς συγκλήτου βουλῆς καὶ τοῦ τῆς πόλεως δήμου, Στέφανον δέ τινα πατρίκιον τὸ ἐπίκλην Ἄσμικτον τοῦ τοιούτου στόλου ἡγεμόνα προβαλόμενος ἐξέπεμψε, προστάξας πάντας τοὺς ἐν Χερσῶνι καὶ Βοσφόρῳ καὶ τοὺς τῶν ἄλλων ἀρχοντιῶν λαοὺς ξίφεσιν ἀνηλωκέναι, Ἡλίαν δὲ τὸν αὐτοῦ δορυφόρον σὺν αὐτῷ ἀπιόντα ἄρχοντα Χερσῶνος ἐγκαταστῆσαι, ἔτι δὲ καὶ Βαρδάνην Ἀρμένιον τῷ γένει ἐξόριστον ἐκεῖσε καταλιπεῖν. Στέφανος δὲ διὰ τῆς Ποντικῆς θαλάσσης πρὸς τὰ ἐκεῖσε

2 θαρραλεώτεροι c *corr. vulg. ed.* 2 8 ὥστε καὶ B 9 ἀποδρασμὸν c *corr. vulg.* 10 παραθ. δὲ τοῦτο χωρίον? *cf.* p. 66, 24 16 παραυτα? 17 ἄχρι καὶ εἰς? *ut solet Nicephorus* εἰσβάντας B ἰδιώτας? 21 ἐπίκλιν c *corr. vulg.* Ἄσμηκτον B *cf. Theoph.* 578, 3 22 προβαλόμενος B προβαλλόμενος c 23 ἀρχοντι[ῶν] c 25 *post* ἄρχοντα *litura unius literae in* c ἐγκαταστῆσαι $c^2$ ἐγκαταστήσει c 26 Βαρδάνιν c *corr. vulg.*

Digitized by Google

περαιωθεὶς τὰ προστεταγμένα ἐπλήρου, μειράκιά τινα ὀλίγα τῷ συνόντι αὐτῷ λαῷ ὡς δῆθεν αἰχμάλωτα περιποιήσας. Τονδοῦνον δὲ τὸν Χερσῶνος ἄρχοντα καὶ Ζωΐλον πρωτοπολίτην λεγόμενον καὶ ἑτέρους ἄνδρας τεσσαράκοντα τῶν ἐμφανεστέρων δεσμώτας σὺν γυναιξὶ καὶ παισὶ πρὸς Ἰουστινιανὸν ἔπεμψεν, ἄλλους τε τῶν πρωτευόντων Χερσῶνος ἄνδρας ἑπτὰ ξυλίνοις ὀβελοῖς προσαρτήσας ἐπὶ πυρὸς διώπτησε. τοὺς δὲ τῶν ἑτέρων προστατεύοντας πολισμάτων ἄνδρας ἄχρι καὶ εἰς εἴκοσι ἀκατίῳ ἐμβαλὼν καὶ προσδήσας λίθους [τε] τούτῳ πλείστους τῷ βυθῷ παραδέδωκεν. Ἰουστινιανὸς δὲ φιλανθρωπότερον τὸν Στέφανον διατεθέντα παρὰ τὰ διατεταγμένα αὐτῷ νομίσας διὰ τὴν τῶν μειρακίων περιποίησιν, σπουδαιότερον ἐπανήκειν πρὸς αὐτὸν ἐκέλευσεν. αὐτὸς δὲ κατὰ τὰ προσταχθέντα ἐκεῖθεν ἀπάρας μηνὸς Ὀκτωβρίου ἐνισταμένου χειμῶνι μεγάλῳ καὶ ναυαγίῳ περιπίπτει, εἰς τρεῖς καὶ ἑβδομήκοντα χιλιάδας τῶν καταποντισθέντων ἀριθμηθέντων, ὧν τὰ πτώματα ἐξ Ἀμάστριδος πόλεως μέχρις Ἡρακλείας ὑπὸ τῆς θαλάσσης ἀπερρίπτετο. ἐφ' οἷς οὐ λυπηθεὶς ἀλλὰ καὶ λίαν περιχαρὴς γενόμενος Ἰουστινιανὸς πάλιν βουλεύεται ἕτερον ἐκεῖσε ἐκπέμπειν στόλον. οἱ δὲ τῶν χωρῶν τούτων ἄρχοντες τῆς φήμης αἰσθόμενοι ἑαυτοὺς ὅση δύναμις ἠσφαλίζοντο, πρὸς δὲ τοὺς Χαζάρεις διαπρεσβεύονται ὥστε ἐπὶ φυλακὴν τούτων λαὸν ἀποστέλλειν καὶ περισώζειν τοὺς ἐν αὐτοῖς περιλειφθέντας. ταῦτα Ἰουστινιανὸς μεμαθηκὼς Γεώργιον τὸν πατρίκιον ἀποστέλλει καὶ Ἰωάννην τὸν τῆς πόλεως ὕπαρχον σὺν ἑτέροις ἄρχουσι καὶ στρατῷ ἄχρι τριακοσίων ἀνδρῶν, παραδοὺς αὐτοῖς Τονδοῦνον καὶ Ζωΐλον, ὥστε ἀποκαταστῆσαι αὐτοὺς

51 B

a. 711

3 *Τονδοῦνον*] *Τουδοῦνον Theoph. τὸν δοῦνον* c *hic et infra* 4 *λεγόμενον*] *γενόμενον?* 10 *τε uncis inclusit* B *λίθοις τε τοῦτο πλείστοις γεμίσας vel simile quid? cf. Theoph.* 579, 3 13 *ἐπανήκειν vulg. ἐπανήσειν* c 22 *Χαζαρεις* (*om. accentu*) c *Χαζάρους* B

Digitized by Google

ταῖς οἰκείαις ἀρχαῖς, Ἡλίαν δὲ ἀγαγεῖν ὡς αὐτόν. τούτων
ἐν Χερσῶνι παραγενομένων οἱ τῆς πόλεως μόνους Γεώργιον
52 B καὶ τοὺς σὺν αὐτῷ ἄρχοντας ἀξιοῦσιν ἐντὸς γενέσθαι τῆς
πόλεως· οὗ γεγονότος τὰς μὲν πύλας ἐπ' αὐτοῖς ἔκλεισαν,
fol. 199ᵛ Γεώργιον δὲ καὶ Ἰωάννην ξίφει ἀναιροῦσι. τοὺς δὲ ἔξω
τοῦ τείχους ἀπολειφθέντας στρατιώτας, ἔτι δὲ καὶ Τονδοῦ-
νον καὶ Ζωΐλον τοῖς ἐκεῖσε προσεδρεύουσι Χαζάροις παρα-
δόντες τῷ χαγάνῳ παρέπεμψαν, οὓς παραλαβόντες οἱ Χά-
ζαροι κατὰ τὴν ὁδὸν ἔκτεινον. οἱ δὲ τῆς πόλεως Χερσῶνος
Ἰουστινιανὸν μὲν αἰσχρῶς δυσφημήσαντες καθύβριζον, Βαρ-
δάνην δὲ τὸν ἐκεῖσε ὄντα ἐξόριστον ὡς βασιλέα εὐφήμουν.
τούτων αἰσθόμενος Ἰουστινιανὸς καὶ μείζονι θυμῷ ἐξαπτό-
μενος τὰ μὲν Ἡλία τέκνα τῷ μητρῴῳ κόλπῳ φερόμενα
ἀναλίσκει, τὴν δὲ αὐτοῦ γυναῖκα τῷ ἰδίῳ μαγείρῳ ξευχθῆ-
ναι ἠνάγκασεν, Ἰνδῷ τῷ γένει καὶ ὅλῳ δυσειδεῖ τυγχάνοντι.
ἕτερον δὲ πάλιν μέγαν στόλον ἀποστέλλει, ἡγεῖσθαι τούτου
προχειρισάμενος Μαῦρον τὸν πατρίκιον, προστάξας τὴν μὲν
πόλιν Χερσῶνος καταστρέψασθαι καὶ ἅπαντας τοὺς ἐν αὐτῇ
ἀφειδῶς κατακτεῖναι. ὁ δὲ πρὸς Χερσῶνα περαιωθεὶς τοῦ
ἔργου εἴχετο. λαοῦ δὲ Χαζάρων ἐξαπιναίως ἐπιπεσόντος ἡ
μὲν πόλις περιεσώζετο, Βαρδάνης δὲ ὡς τὸν κύριον τῶν
Χαζάρων φυγὰς ᾤχετο. Μαῦρος δὲ ὁ πατρίκιος πρὸς μὲν
τὴν πολιορκίαν ἀμηχανήσας, παλινοστεῖν δὲ πρὸς Ἰουστινια-
νὸν δεδιώς, συμφρονεῖ τῇ πόλει Χερσωνιτῶν. καὶ Ἰουστι-
νιανὸν μὲν ἀπηναίνοντο, Βαρδάνην δὲ ὡς βασιλέα εὐφή-
μουν, Φιλιππικὸν αὐτὸν μετονομάσαντες. καὶ πρὸς τὸν
Χάζαρον διαπρεσβεύονται τοῦτον ὡς αὐτοὺς ἀπεσταλκέναι.
ὁ δὲ ὅρκοις ἐμπεδοῖ τὸ Ῥωμαϊκὸν πλῆθος περὶ τῆς Βαρ-
δάνου σωτηρίας χρήματα αὐτοὺς πραξάμενος, κατ' ἄνδρα

ου
2 σμονης (ου *sec. m. sprscr. et* η *deletum*) c 14 ἀναλίσκει *vulg.* ἀνηλίσκει c ἀνήλισκεν? 20 ἐπιπεσόντος *vulg.* ἐπιπεσόντων c 25 ἀνένοντο C 27 πρὸς αὐτὸν c² 28 ὑπὲρ B 29 αὐτοὺς *vulg.* αὐτοῖς c *cf.* p. 37, 20

Digitized by Google

ἑκατὸν νομίσματα εἰληφώς. Ἰουστινιανὸς δὲ χρόνου παρ- 53 B
ερχομένου ὑπώπτευεν ὡς καὶ παρ' αὐτῶν ἠθετημένος εἴη.
διὰ τοῦτο αἱρεῖται Τέρβελιν τὸν ἄρχοντα τῶν Βουλγάρων
καὶ τηνικαῦτα συμμαχεῖν αὐτῷ. ὁ δὲ πέμπει πρὸς αὐτὸν
ἄνδρας ὡς τρισχιλίους, οὓς δεξάμενος συμπεραιοῦται αὐτοῖς,
καὶ ἅμα τῷ τοῦ Ὀψικίου λεγομένῳ στρατῷ εἰς τὸ καλού-
μενον πεδίον τοῦ Δαματροῦ ἱδρύσασθαι παρεκέλευεν. αὐτὸς
δὲ τούς τε ἄρχοντας ἑαυτοῦ καὶ στρατὸν ὁπλίτην ἕτερον
παραλαβὼν πρὸς τοῖς Ποντικοῖς ἐξέδραμε χωρίοις, ἄχρι
παραθαλασσίου κώμης Γιγγιλίσσου ὀνομαζομένης, ὥστε ἀνα-
μανθάνειν οἷα τὰ ἐν Χερσῶνι αὐτῷ πεπραγμάτευτο. ἐπὶ
χρόνον δέ τινα ἐκεῖσε διατρίψας καὶ θεασάμενος τὸν τοιοῦ-
τον στόλον σὺν τῷ Φιλιππικῷ βασιλεύοντι πρὸς Βυζάντιον
καταίροντα, πρὸς τὸν καταλειφθέντα αὐτῷ λαὸν κατὰ τὸν
Δαματρὺν παλινοστεῖ. Φιλιππικὸς δὲ πολέμου ἐκτὸς εἰς τὴν
πόλιν εἰσῄει, καὶ αὐτίκα Ἡλίαν σὺν ὁπλίτῃ λαῷ κατὰ Ἰου- fol. 200r
στινιανοῦ ἀποστέλλει. καὶ αὐτὸς τῷ μὲν συνόντι Ἰουστι-
νιανῷ πλήθει ὅρκοις τὰ τῆς σωτηρίας ἐβεβαίωσε καὶ τὸν
τῶν Βουλγάρων λαὸν σώους ἐπανήκειν ὑπέσχετο, αὐτοῦ δὲ
Ἰουστινιανοῦ τὴν κεφαλὴν ἐκτέμνει, ἤδη ἔτος ἕκτον ἀνύ-
σαντος ἐν τῇ δευτέρᾳ αὐτοῦ βασιλείᾳ, καὶ πρὸς Φιλιππικὸν
ἐκπέμπει. ὁ δὲ ταύτην δεξάμενος πρὸς τοῖς ἑσπερίοις τό-
ποις ἄχρι Ῥώμης ἀπέστελλε. Μαῦρον δὲ τὸν πατρίκιον καὶ
Ἰωάννην τὸν βασιλικὸν δορυφόρον, ἐπίκλην Στροῦθον, κατὰ
Τιβερίου τοῦ υἱοῦ Ἰουστινιανοῦ ἐξέπεμψεν, ὃν καταλαμ-
βάνουσιν ἐν τῷ θυσιαστηρίῳ καταφυγόντα τοῦ ἱεροῦ τῆς
πανάγνου Θεομήτορος τοῦ ἐν Βλαχέρναις ὄντος, ἐν ᾧ εἰσ-
πηδήσας Ἰωάννης ἀφέλκεται τῆς ἱερᾶς ἐξημμένον τραπέζης, 54 B
μήτε τὰ ἐκ τοῦ θυσιαστηρίου εὐλαβηθεὶς μήτε τοῖς πολλοῖς
δάκρυσιν Ἀναστασίας τῆς αὐτοῦ μάμμης εἴξας· παρῆν γὰρ

7 αὐτὸς *vulg.* αὐτοὺς c 15 Φιλιππικὸς c² Φιλιππικοῦ c
16 Ἡλίαν c 24 ἐπίκλιν c *corr. vulg.* τὸ ἐπίκλην? *cf.* p. 23,
12; 32, 28; 44, 21

Digitized by Google

καὶ αὐτὴ τῷ ἐγγόνῳ συγκινδυνεύουσα. καὶ τοῦτον εἰς τὴν τοῦ ὑπερκειμένου τείχους τὴν καλουμένην τῶν Καλλινίκων ζῴου ἀλόγου δίκην μαχαίρᾳ ἀποσφάττουσιν, ἐν τῷ ἱερῷ τῶν θείων Ἀναργύρων τῶν καλουμένων τῶν Παυλίνης ταφῆναι προστάξαντες. μεθ' ὃν συλλαμβάνονται καὶ Βαρασβακούριον καὶ τοὺς λοιποὺς Ἰουστινιανοῦ ἄρχοντας, καὶ πάντας ξίφει ἀναιροῦσι.

a. 712 Φιλιππικὸς δὲ ἀσέμνως καὶ ῥᾳθύμως τὰ βασίλεια διέπων ἐφαίνετο, τοὺς δὲ ἐν τῇ ἕκτῃ οἰκουμενικῇ συνόδῳ πατέρας ἀναθέματι καθυπέβαλε, τὰ παρ' αὐτῶν ἐνθέως δογματισθέντα δύο τοῦ σωτῆρος θελήματα καὶ ἐνεργείας μὴ ἀποδεχόμενος, συλλήπτορα εὑρίσκων Ἰωάννην τὸν τηνικαῦτα τῆς πόλεως ἀρχιερέα καὶ Γερμανὸν τὸν Κυζίκου μητροπολίτην καὶ ἑτέρους ἱερεῖς καὶ συγκλητικοὺς πλείστους.

Ἐν τούτοις τῶν Βουλγάρων ὁπλίτης ὅμιλος ἀθρόως τοὺς ἐν τῷ Θρᾳκικῷ Βοσπόρῳ οἰκοῦντας ἐπεισπίπτει· καὶ λαὸν πλεῖστον τῶν ἐγχωρίων καὶ τῶν ἐκ Βυζαντίου διαπερώντων τέρψεως καὶ ἡδυπαθείας ἕνεκεν ἀναιροῦσιν, ἄλλους τε ᾐχμαλώτευσαν καὶ ἄργυρον ὡς πλεῖστον καὶ σκεύη οὐκ ὀλίγα παρ' αὐτῶν προσκτησάμενοι· ἀδείας δὲ αὐτοῖς προσγενομένης καὶ πρὸς τῷ χερσαίῳ τείχει τῆς πόλεως σκεδάννυνται, ἄχρι καὶ τῆς Χρυσῆς καλουμένης πύλης προεκδραμόντες. ἐκεῖθεν ὑπονοστήσαντες πολλὰ τὰ ἐπὶ Θρᾴκης χωρία καταληΐζονται. μετὰ δὲ ταῦτα καὶ τὸ τῶν Σαρακηνῶν ἔθνος τὴν Ῥωμαίων κατέθεον χώραν, καὶ τὰ πλεῖστα
55 B μέρη διεκτρέχοντες πλείστην ὅσην βλάβην ἀνθρώπων τε καὶ κτηνῶν ἐποιοῦντο, τήν τε Μήδειαν καὶ ἕτερα πολίσματα

2 *τείχους πύλην τὴν καλ.? ἐπὶ τῷ ἄνω τῶν Καλλινίκης παραπορτίῳ Theoph.* 583, 5 4 *τῷ καλουμένῳ? cf. Theoph.* 583, 8 5 *Βαρασβακούριον cf. ad* p. 41, 21 8 *τὴν βασιλείαν* B *sed τὰ βασίλεια etiam Suidas* s. v. *Φιλιππικὸς* a. 9 *δὲ*] *τε Suid.* 12 *συλλήπτορας Suid. εὑρηκὼς Suid.* 16 *κατὰ τοὺς? cf.* p. 49, 12 20 *αὐτοῖς vulg. αὐτῶν* c 27 *Μίδειαν* B *Μισθίαν et Μίσθειαν codd. Theoph.* Misthiam A

Digitized by Google

συμπαραλαμβάνουσι. Φιλιππικὸς δὲ γενέθλιον τῆς πόλεως a. 713
ἡμέραν ἐπιτελέσας καὶ ἀμιλλητήριον τῶν ἵππων ἀγῶνα ἐπιδειξάμενος, εἶτα τοῖς φίλοις συμποσιάσας εἰς ὕπνον κατὰ τὸν μεσημβρινὸν τῆς ἡμέρας καιρὸν ἐτράπετο. συμβαίνει δέ γε αὐτῷ τὰ τῆς ἐπιβουλῆς ἐντεῦθεν. Γεώργιός τις ὄνομα, τὸ ἐπίκλην Βούραφος, πατρίκιος τυγχάνων καὶ τοῦ fol. 200ᵛ
Ὀψικίου στρατοῦ ἡγούμενος, πρὸς τῇ Θρᾴκῃ τηνικαῦτα ἐπιδημῶν φυλακῆς ἕνεκα τῆς χώρας διὰ τὴν τῶν Βουλγάρων καταδρομήν, γνώμῃ Θεοδώρου τοῦ πατρικίου τὸ ἐπίκλην Μυακίου πέμπει τῶν ὑπηρετῶν τινά, Ῥοῦφον ὄνομα, σὺν ὀλίγοις στρατιώταις πρὸς τὸ Βυζάντιον τὰ πρὸς τὴν Φιλιππικοῦ ἐπιβουλὴν ἐπιτελέσοντας· ὃς ἀθρόως κατὰ τὰ βασίλεια ἐπεισπίπτει, καὶ τὸν βασιλέα καθεύδοντα καταλαβὼν ἐξανίστησί τε τοῦ ὕπνου καὶ πρὸς τὸν τοῦ ἱπποδρομίου ἐξάγει χῶρον κἀκεῖσε αὐτοῦ τὰς ὄψεις ἀπετύφλωσε, δεύτερον ἔτος ἐν τῇ βασιλείᾳ διάγοντος. τῇ ἐπαύριον (ἡμέρα ἦν τῆς πεντηκοστῆς ἑορτάσιμος) ἀθροισθεὶς ὁ τῆς πόλεως ἅπας δῆμος πρὸς τὸ ἱερὸν τοῦ θείου λόγου τέμενος ἀναγορεύουσιν εἰς βασιλέα Ἀρτέμιον Φιλιππικοῦ γραμματέα τυγχάνοντα, οὓς τῇ Ἰταλῶν φωνῇ καλοῦσιν ἀσηκρῆτις, ἐπονομάσαντες αὐτὸν Ἀναστάσιον. ὀλίγων δὲ ἡμερῶν διελθουσῶν τυφλοῦσι Θεόδωρον τὸν πατρίκιον, ὡσαύτως καὶ Γεώργιον, καὶ τοῖτον ἐξόριστον ἐν Θεσσαλονίκῃ πέμπουσιν.

Ἀναστάσιος δὲ δι' ἐπιμελείας τὰ πολεμικὰ πράγματα 56 B
εἶχε καὶ ἄρχοντας ἱκανοὺς πρὸς τὰς τούτων διοικήσεις καθίστη. αἰσθόμενος δὲ ὁ τῶν Σαρακηνῶν βασιλεὺς βουλὰς ἐκίνει ὡς κατὰ τῆς Ῥωμαίων χώρας στρατευσόμενος. ἀποστέλλει δὲ πρὸς αὐτὸν Δανιὴλ τὸν πατρίκιον ⟨ἐκ⟩ τῆς Σι-

6 ἐπίκλιν c *corr. vulg. item v.* 9 16 διάγοντος B διάγοντα c 20 μετονομάσαντες? *cf. Theoph.* 588, 4 26 καθίστει c καθίστα *vulg.* 29 ἐκ *om* c ἀπὸ *vulg. sed cf.* p. 37, 24; 66, 6



Digitized by Google

νωπιτῶν ὁρμώμενον πόλεως, ὕπαρχον τηνικαῦτα τῆς βασιλίδος ὑπάρχοντα, ὡς δῆθεν τὰ τῆς εἰρήνης ἐπικηρυκευσόμενον, τῷ ὄντι δὲ διοπτευσόμενον οἷα αὐτοῖς τὰ κατὰ Ῥωμαίων ἐξηρτύετο· ὃς ἐπανήκων ἐπήγγειλε μεγίστην ἔσεσθαι τοῦ ἔθνους διά τε ἱππικῶν καὶ πλοΐμων στρατευμάτων τῆς Ῥωμαϊκῆς πολιτείας καταδρομήν. ὁ δὲ ἀκούσας ἑκάστῳ τῶν ἐν τῇ πόλει † ὡς εἴ τις τῶν ἀναγκαίων εὐπορήσοι ἐπὶ τριετῆ χρόνον διαρκούντων αὐτῷ, μένειν, ὁ δὲ τούτων ὑστερῶν οὗ ἂν βούλοιτο ἀποτρέχειν. τὰ δὲ τείχη τῆς πόλεως ἐπιμελέστερον καινίζει καὶ τὰ πολεμητήρια ὄργανα διασκευάζει, πλεῖστα δαπανήματα τῇ πόλει ἀποθέμενος καὶ ἑτέροις οἷς ἀνῆκε πρὸς πολεμίων ἔφοδον ταύτην κατοχυρώσας. φήμης δὲ γενομένης ὡς ὁ τῶν Σαρακηνῶν στόλος ἀπὸ Ἀλεξάνδρου πόλεως ἐπὶ τὸν Φοίνικα παρεγένετο ναυπηγησίμης ξυλῆς κυπαρισσίνης ἕνεκεν, ἐκλέγεται σκάφη ταχυπλοΐμα, στρατόν τε ἐν αὐτοῖς ἐγκαταλέγει ἐκ τῶν τῆς χώρας τοῦ καλουμένου Ὀψικίου καὶ πρὸς τῇ νήσῳ τῇ Ῥόδῳ ἀποστέλλει. κἀκεῖσε ἀθροισθῆναι καὶ ἄλλα Ῥωμαϊκὰ πλοῖμα συνέταξε. τούτοις ἡγεμόνα ἐφίστησιν Ἰωάννην διάκονον τῆς μεγάλης ἐκκλησίας καὶ τῶν δημοσίων φόρων λογιστήν, ὃν λογοθέτην γενικὸν οἶδε καλεῖν ἡ συνήθεια, ὑπάρ-
fol. 201r 57 B χοντα ἔμφρονά τε καὶ ἔμπειρον καθιστάμενον, ὅστις τὸν ἅπαντα παρέλαβε στόλον. ὃς πρὸς τῇ Ῥόδῳ γενόμενος καὶ τὰ ἐντεταλμένα ἀπαγγέλλων καταπειθεῖς εὗρισκε καὶ προθύμους πρὸς τὸν διάπλουν ὑπάρχοντας τοὺς συνειλεγμένους ἅπαντας. μόνοι δὲ οἱ παραγενόμενοι τοῦ Ὀψικίου στρατοῦ τὴν τοιαύτην ὁδοιπορίαν δεδοίκεσαν. στασιάζουσιν οὖν ἐξ

2 ἐπικηρυκευσάμενον — διοπτευσάμενον c *corr. vulg.* 7 „πόλει ἐπιτρέπει ὡς? *an* διέταττεν *cum Petavio*“ B 10 καινίζοι c *corr. vulg.* 11 πλεῖστα δὲ δαπ. c δὲ *del. vulg.* 14 ἀπὸ τῆς Ἀλεξάνδρου? *cf.* p. 64, 16 B τὸν] *fort.* τὴν P *sed cf. Theoph.* 590, 9. ναυπηγησίμοις ξύλοις κυπαρισσίνοις c *corr.* B 24 καταπειθεῖς] εἷς *in lit.* c προθύμους c² προθύμως c

Digitized by Google

αὐτοῦ, καὶ τὸν μὲν βασιλέα Ἀναστάσιον ἐδυσφήμουν, Ἰωάννην δὲ τὸν διάκονον ῥομφαίᾳ ἀναλίσκουσιν. ἐντεῦθεν λοιπὸν οἱ στόλοι σκεδάννυνται, καὶ πρὸς τὰ οἰκεῖα ἀπέπλευσαν ἕκαστοι. αὐτοὶ δὲ ἐπὶ τὴν ἑαυτῶν ἀνιόντες καὶ πρὸς τὸ Ἀδραμύντιον γενόμενοι ἐκεῖσε εὑρίσκουσι Θεοδόσιόν τινα ὄνομα, τῶν δημοσίων φόρων πράκτορα, ἀπράγμονά τινα καὶ ἰδιώτην τυγχάνοντα, καὶ πρὸς τὴν τῆς βασιλείας ἀξίαν προτρέπουσιν. ὁ δὲ φυγὰς ᾤχετο καὶ εἰς ὄρος κατεκρύπτετο. αὐτοὶ δὲ ἐπιδραμόντες καὶ βιασάμενοι βασιλέα τε ἀναγο- a. 715
ρεύουσι καὶ μεθ' ἑαυτῶν ἄγουσι.

Ταῦτα Ἀναστάσιος μεμαθηκὼς τὸ μὲν Βυζάντιον ἤδη προκατοχυρώσας ἐν τῇ πόλει Νικαίας τῆς κατὰ Βιθυνίαν ἐξέρχεται, κἀκεῖσε ἑαυτὸν κατασφαλίζεται. ὁ δὲ μετὰ Θεοδοσίου στρατὸς συλλαβὼν ἅπαντα τὸν τοῦ Ὀψικίου στρατὸν καὶ πλεῖστα σκάφη ἐμπορικά, [καὶ] κατὰ τὸ ἤδη καὶ πρόσθεν εἰρημένον παραθαλασσίῳ χωρίῳ Χρυσοπόλεως παραγίνεται. ἐκεῖθέν τε ἐφ' ἑκάστου τοῖς ἐκ τῆς πόλεως πόλεμον προσέβαλεν, ἐπὶ μησί τε ἓξ τὰ τῆς μάχης διήρκεσε. καὶ ὁ τοῦ Ἀναστασίου στόλος πρὸς τῷ Νεωρίῳ τῆς πόλεως καλουμένῳ λιμένι κατῆρε, ὁ δὲ τοῦ Θεοδοσίου στόλος ἀδείας ἐπιλαβόμενος διαπορθμεύεται πρὸς τὰ Θρᾳκῷα καὶ τούτων 58 B
ἐκράτησεν. ἐπὶ προδοσίᾳ δέ τινας ὑποφθείραντες διὰ τῆς πύλης τῆς καλουμένης Βλαχερνῶν τὴν πόλιν εἷλον, καὶ νυκτὸς ἐπιγενομένης εἰς τοὺς οἴκους τῶν πολιτῶν εἰσδράμόντες μεγίστην αὐτοῖς βλάβην εἰργάζοντο. τοὺς δὲ ἐν αὐτῇ ἄρχοντας ἅμα Γερμανῷ τῷ τηνικαῦτα ἱεράρχῃ τῆς πόλεως ἀποστέλλει ὡς τὰ πεπραγμένα αὐτῷ πιστωσόμενος Ἀναστασίῳ. ὁ δὲ τούτους ἤδη λόγον ἤτησεν ὡς μή τι κακὸν πάθῃ, καὶ τὸ μοναχικὸν περιβαλόμενος σχῆμα πρὸς

5 Ἀδραμύντ[ειον] c 6 ὀνόματι $c^2$ 15 καὶ *uncis inclusi* πρόσθεν] p. 44, 10 16 παραθαλάσσιον χωρίον? Χρυσοπό[λεως] c 20 κατῆρε P κατήρει c καταίρει B 29 πάθει c *corr. vulg.* περιβαλλόμενος c *corr. vulg.*



Digitized by Google

Θεοδόσιον ᾤχετο· ὁ δὲ ἕτερον μηδὲν βλάψας κατὰ τὴν Θεσσαλονίκην ἐξόριστον ἔπεμψεν.

Ἐπεὶ οὖν πυκναὶ τῶν βασιλέων ἐπαναστάσεις ἐγένοντο καὶ ἡ τυραννὶς ἐκράτει τά τε τῆς βασιλείας καὶ τῆς πόλεως κατημελεῖτο καὶ διέπιπτε πράγματα, ἔτι μὴν καὶ ἡ τῶν λόγων ἠφανίζετο παίδευσις καὶ τὰ τακτικὰ διελύετο. ἐξ ὧν συνέβαινε καὶ τοὺς πολεμίους τῆς τῶν Ῥωμαίων κατατρέχειν ἀδεῶς πολιτείας, φόνοι τε πολλοὶ καὶ ἀπαγωγαὶ
a. 716 καὶ πόλεων ἁλώσεις. ἐντεῦθεν καὶ οἱ Σαρακηνοὶ ὁρμῶσι κατ' αὐτῆς τῆς βασιλευούσης, διὰ τῆς ἠπείρου στέλλοντες
fol. 201v ἐκ διαφόρων ἐθνῶν τῶν ὑπὲ χεῖρα ἱππικά τε καὶ πεζικὰ στρατεύματα ἀριθμοῦ κρείττονα. ὡσαύτως καὶ στόλον πολὺν ἀπέστειλαν ἄχρι καὶ εἰς χιλίας ὀκτακοσίας ναῦς, ἡγεμόνα τούτοις τινὰ καταστήσαντες Μασαλμᾶν τῇ σφῶν διαλέκτῳ καλούμενον. ταῦτα μαθόντες οἵ τε στρατιωτικοὶ καὶ πολι-
59 B τικοὶ ἄρχοντες καὶ τὴν τοῦ Θεοδοσίου ἀπειρίαν, καὶ ὡς οὐχ ἱκανῶς ἔχει τὰ πρὸς τοὺς πολεμίους ἀντικαθίστασθαι, ἐφίστανται αὐτῷ παραινοῦντες τὴν βασιλείαν παραιτήσασθαι καὶ ἀβλαβῶς ἰδιωτεῦσαι. καὶ αὐτὸς ὑπεχώρει, ἐνιαυτὸν ἕνα ἐν τῇ βασιλείᾳ διαρκέσας. εἶτα εἰς ψῆφον ἐληλυθότων τοῦ βασιλεύσοντος ἠρέθη Λέων ὁ πατρίκιος, τηνικαῦτα στρατηγὸς ὢν τοῦ τῶν ἀνατολικῶν λεγομένου στρατοῦ. καὶ ὡς ἦν ἔθος βασιλεῦσι, διὰ προπομπίου δοχῆς διὰ τῆς Χρυσῆς καλουμένης πύλης εἰς τὸ Βυζάντιον εἰσελαύνει, καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ γενόμενος ἐκεῖσε τὸν τῆς βασιλείας ἀνεδήσατο στέφανον.

Ὁ δὲ τῶν Σαρακηνῶν λαὸς πλεῖστα τῶν Ῥωμαίων
a. 717 καθελὼν πολίσματα καταλαμβάνει τὴν Πέργαμον καλουμένην πόλιν, καὶ ἤδη τῆς πρὸς αὐτὴν πολιορκίας εἶχοντο. καὶ

3 πυκναὶ κατὰ τῶν B ἐγίνοντο? 7 πολεμίους vulg. πολέμους c τῆς c² τοὺς c 8 πολλοὶ c² πολλαὶ c 16 Θεοδοσίου θεασάμενοι ἀπειρίαν? 21 ἠρέθη B εὑρέθη c

ταύτην αἱροῦσιν ἐξ αἰτίας τοιᾶσδε. ἔκ τινος δαιμονικῆς ἐπινοίας οἱ τῆς πόλεως ἔνδον πρωτοτόκον κόρην λαβόντες ἐγκυμονοῦσαν καὶ ἤδη πρὸς τὸ τεκεῖν ἐγγίζουσαν, καὶ ταύτην τε ἀνέτεμον καὶ τὸ ἐν αὐτῇ βρέφος ἄραντες ἐπὶ λέβητος ὕδατι ἑψοῦσιν, ἐφ' οὗ οἱ πρὸς τὸ πολεμεῖν τοῖς ἐχθροῖς παρασκευαζόμενοι τὰς χειρίδας τῶν δεξιῶν χειρῶν κατεβάπτισαν. ἐκεῖθέν τε τὰ ἐξ ὀργῆς τοῦ θεοῦ κατελάμβανεν· αἱ γὰρ χεῖρες αὐτῶν ἐφάπτεσθαι ὅπλου διείργοντο, καὶ ἀπρακτούντων οἱ πολέμιοι τὴν πόλιν εἷλον ἀμαχητί. ἐκεῖθεν ἄραντες οἱ Σαρακηνοὶ πρὸς τῷ στενᾷ τῆς Ἀβύδου καταλαμβάνουσι καὶ εἰς τὰ ἐπὶ Θρᾴκης ἀντιπεραιοῦνται. καὶ πλεῖστα ταύτης ἑλόντες πολίσματα ἐπὶ τὴν βασιλεύουσαν ἀφίκοντο καὶ χάρακα ταύτῃ περιβάλλουσι καὶ τῆς πολιορ- 60 B
κίας εἶχοντο, τρισκαιδεκαμηνιαῖον χρόνον ἐν τῇ προσεδρίᾳ διανύσαντες, ἰδέας μηχανημάτων ὡς πλείστας προσενεγκόντες. ἐν τούτῳ καταλαμβάνει καὶ ὁ τῶν Σαρακηνῶν στόλος, οὗ ἡγεῖτο Σολιμᾶν ὀνόματι Ἀράβων φωνῇ καλούμενος. ἐν ᾧ δὲ τῶν ὑπὸ τὸ Βυζάντιον πόρων ἀνήγοντο, αἱ κατόπιν ἰοῦσαι ναῦς, οἱάπερ νωτοφυλακοῦσαι καὶ φόρτῳ πολλῷ βεβαρημέναι ἔκ τε στρατιωτῶν πλήθους καὶ ὅπλων, καὶ ἅμα μικροῦ πνεύματος ἀντιπνεύσαντος καὶ τοῦ ῥείθρου εἰς τοὐπίσω ἄγεσθαι βιαζομένου, σχολαιότερον ὑπέπλεον. ταύτας ὁ βασιλεὺς θεασάμενος διήρεσιν ἐπιβὰς καὶ διέκπλους ποιησάμενος πυρὶ κατέφλεξεν, οὔσας τὸν ἀριθμὸν εἴκοσι. ὁ δὲ λοιπὸς ἅπας στόλος τῷ Θρᾳκικῷ προσπλεύσας Βο- fol. 202r
σπόρῳ τῷ λιμένι τῷ καλουμένῳ Σωσθενίῳ προσορμίζεται καὶ αὐτοῦ διεχείμαζεν. ἐν ᾧ συμβέβηκε χειμῶνα μέγιστον γενέσθαι, ὥστε μηδαμῶς γῆν ὀφθῆναι ἐκ πληθύος τῆς κατενεχθείσης χιόνος ἄχρις εἰς τὰς ἑκατὸν ἡμέρας· ἐξ οὗ πλῆθος οὐκ ὀλίγον ἀνδρῶν τε καὶ ἵππων καὶ καμήλων καὶ

1 αἱροῦσι *vulg.* αἴρουσιν c 2 ἐπιπνοίας B 17 Σολυμᾶν *vulg. ut* 43, 21 18 δὲ διὰ τῶν? 21 αὐτιπνεύσαντος c *corr. vulg.* 27 αὐτοῦ *vulg.* αὐτῶ c ἐν αὐτῷ? 30 ὀλίγον B ὀλίγων c

Digitized by Google

λοιπῶν ζῴων ἀπέβαλον. ἔαρος δὲ ἐπιγενομένου ἐπικαταλαμβάνει καὶ ἕτερος τῶν Σαρακηνῶν στόλος πλεῖστος ἐξ Αἰγύπτου, οὗ ἡγεῖτο Σοφιὰμ ὄνομα ἄρχων, φόρτον ἄγων ἐν ταυτῷ σίτου τε πλείστου καὶ ὅπλων. ὀλίγου δὲ διελθόντος χρόνου καὶ ἕτερος ἐφίσταται στόλος ἐκ τῶν περὶ Ἀφρικὴν ἀναχθείς, ὅπλων τε πολλῶν καὶ δαπανημάτων καταγέμων, οὗ ὑπῆρχεν ἡγεμὼν Ἰέζιδος Σαρακηνῶν ὄνομα. οὗτοι, ὥς φασι, τὴν ἐκ τοῦ ἐσκευασμένου παρὰ Ῥωμαίοις πυρὸς ὑφορώμενοι βλάβην, τὸν οὖν Βυζάντιον πόρον ἀπογνόντες
61 B τοῖς πρὸς Βιθυνίαν μέρεσι προσέσχον, ὁ μὲν πρὸς τὸν καλούμενον λιμένα Καλοῦ ἀγροῦ, ὁ δὲ πρὸς ταῖς ἀκταῖς τοῦ λεγομένου Σατύρου. οἱ δὲ ἐν αὐτοῖς εἰσπλέοντες Αἰγύπτιοι νυκτὸς τοὺς ἐνεστηκότας λέμβους τῶν νηῶν εἰσβάντες πρὸς τὸ Βυζάντιον ἦκον καὶ τὸν βασιλέα εὐφήμουν. ἐφ' οἷς ἀναθαρσήσας ὁ βασιλεὺς πυρφόρους ναῦς κατὰ τῶν τοιούτων στόλων ἐξέπεμψε καὶ πάσας αὐτῶν τὰς ναῦς ἐνέπρησεν. ἐκεῖθεν λαφυραγωγήσαντες καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς ὅπλων καὶ δαπανημάτων καταφορτισθέντες πρὸς βασιλέα ὑπέστρεφον.

Τούτῳ τῷ χρόνῳ Σέργιος ὁ πατρίκιος ὁ τῆς Σικελίας στρατηγὸς καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες, τὰ περὶ τὸ Βυζάντιον καὶ τὸν βασιλέα αὐτὸν ἀπογνόντες τῆς γενομένης τῶν πολεμίων χάριν κατ' αὐτῶν ἐφόδου, ἴδιον στέφουσι βασιλέα τῶν ὑπηρετῶν τινα Σεργίου, Βασίλειον τοὔνομα, υἱὸν γεγονότα Γρηγορίου τὸ ἐπίκλην Ὀνομαγούλου, Τιβέριον αὐτὸν ὀνομάσαντες. τοῦτο ἀκηκοὼς ὁ βασιλεὺς Παῦλον τὸν πατρίκιον στρατηγὸν Σικελίας προβάλλεται ἅτε πιστὸν καὶ οἰκεῖον ὑπάρχοντα καὶ τακτικῶν ἔμπειρον, καὶ πρὸς Σικελίαν ἐκπέμπει. οὗ τινος ἐκεῖσε καταλαβόντος Σέργιος φυγὰς ἐκεῖ-

3 *Σουφιὰμ Theoph.* ὀνόματι c² *item v.* 7 7 *Ἰζιδ Theoph.* *Σαρακηνὸς* B *coll.* p. 58, 13 *Σαρακηνῶν φωνῇ?* 9 *οὖν*] *ὑπὸ* B *coll.* p. 53, 18 15 *πυρφόρους* c² *πυρφόρος* c 25 *ἐπίκλιν* c *corr. vulg.* 29 *Σέργιος vulg. Σεργίου* c

Digitized by Google

Θεν οἴχεται καὶ πρὸς Λογγουβάρδους γίνεται, Παῦλος δὲ ἐν τῇ νήσῳ λαὸν περιαθροίσας τὰ βασιλέως ὑπαναγινώσκει γράμματα, δι' ὧν εἰς πίστωσιν ἐλθόντες τόν τε βασιλέα εὐφήμησαν καὶ Βασίλειον καὶ τοὺς ὑπ' αὐτοῦ προχειρισθέντας ἄρχοντας δεσμίους αὐτῷ παραδεδώκασιν. ὁ δὲ τούτους παραλαβὼν Γεώργιόν τινα καὶ ἑτέρους ἀνεῖλε καὶ τούτων τὰς κεφαλὰς πρὸς τὸν βασιλέα ἀνέπεμψε, τοὺς δὲ ἄλλους 62 B σὺν πληγαῖς καὶ αἰκίαις πολλαῖς, ὧν δὲ καὶ τὰς ῥῖνας ἐκτεμών, ὑπερορίαις παρέπεμψε. Σέργιος δὲ τῆς ἑαυτοῦ σωτηρίας λόγον αἰτήσας πρὸς τὸν Παῦλον ἐκομίσθη. ἐντεῦθεν τὰ τῆς ἑσπέρας πράγματα ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ κατέστη. fol. 202ᵛ

Μετὰ τοῦτο τίκτεται υἱὸς τῷ βασιλεῖ, ὃν ἐπωνόμασε Κωνσταντῖνον. πεντεκαιδεκάτῃ δὲ τοῦ ἐπεισιόντος μηνὸς Αὐ- a. 718 γούστου πάντα τά τε ἱππικὰ καὶ πλόϊμα τῶν Σαρακηνῶν ἐκστρατεύματα τῆς βασιλευούσης ἀπεχώρουν, πλείστας ναῦς ἀποβαλόντες ὑπό τε ζάλης καὶ ἀνέμων ἀγρίων καταληφθείσας, καὶ πολλῶν μὲν εἰς τὰς νήσους ἄχρι καὶ εἰς τὴν Κύπρον σκεδασθεισῶν, ἑτέρων δὲ καὶ αὐτάνδρων τῷ βυθῷ παραδοθεισῶν. Ἀρτέμιος δὲ ἐν Θεσσαλονίκῃ ἐξόριστος ὢν πάλιν πειρᾶται τῆς βασιλείας ἐπικρατήσειν, καὶ ἐπεχείρει τοιάδε πράττειν. γράφει πρὸς Σισίννιον πατρίκιον τὸ ἐπίκλην Ῥενδάκιον, πρὸς τῇ τῶν Βουλγάρων διατρίβοντα χώρᾳ παρὰ βασιλέως τηνικαῦτα ἀποσταλέντα ὡς ἂν συμμαχίαν παρ' αὐτῶν κατὰ τῶν Σαρακηνῶν λήψοιτο, ὅπως αὐτῷ τοῖς κατὰ γνώμην συμπράξειεν, ἀναπείσῃ δὲ καὶ Βουλγάρους συνεργήσειν αὐτῷ. ὁ δὲ τοῦτο ὑπέσχετο. γράφει δὲ καὶ πρὸς Νικήταν τὸν μάγιστρον τὸ ἐπίκλην Ξυλινίτην, ἐν Κων-

1 *Λογγοβάρδους vulg.* Λογγιβάρδους *Theoph.* 612, 16 2 δὲ τὸν ἐν B 4 εὐφήμησαν, καὶ Βασ. *vulg.* εὐφημήσας, καὶ Βασ. c εὐφημήσαντες, Βασ.? 16 ἀποβαλόντες c² καταβαλόντες c καταλειφθείσας c *corr. vulg.* 21 ἐπίκλιν c *item v.* 27. p. 56, 4 25 ἀναπείσοι *vulg.* 27 μαγιστρον (*om. accentu*) c

Digitized by Google

σταντινουπόλει ὑπάρχοντα, ἔτι δὲ καὶ πρὸς Ἰσώην πατρίκιον καὶ τοῦ λεγομένου βασιλικοῦ Ὀψικίου ἡγεμόνα, καὶ Θεόκτιστον τὸν πρώτιστον τῶν βασιλικῶν γραμματέων καθ' οὓς ἐβασίλευε χρόνους γενόμενον, καὶ Νικήταν ἐπίκλην Ἀνθρακα ἄρχοντα τειχῶν, παλαιᾶς φιλίας ἀναμιμνήσκεσθαι, καὶ ἑτοίμους εἶναι συντρέχειν αὐτῷ καὶ τὴν πόλιν ἀνοιγνύναι καὶ
63 B ὡς βασιλέα ὑποδέχεσθαι. τὰ γραφέντα οὖν εὐθὺς τῷ βασιλεῖ διαγινώσκεται, καὶ τοὺς τὰ γράμματα δεξαμένους χειροῦται καὶ πληγαῖς αἰκίζεται, καὶ αὐτοὶ ὁμολογοῦσι. καὶ Νικήτα μὲν τοῦ τὴν ἀξίαν μαγίστρου καὶ Θεοκτίστου τὰς κεφαλὰς ἐξέτεμε, τοὺς δ' ἄλλους οὐ μικρῶς αἰκισάμενος καὶ δημεύσας ἐξορίαις ἀπέπεμψεν. Ἀρτέμιος δὲ ἅμα Σισιννίῳ τῷ πατρικίῳ καὶ τοῖς Βουλγάροις μέχρις Ἡρακλείας καταλαμβάνει, σὺν αὐτοῖς δὲ καὶ ἅπερ ἦγον ἐκ Θεσσαλονίκης ἀκάτια· μονόξυλα δὲ αὐτοὶ προσαγορεύουσι. γράφει δὲ Βουλγάροις ὁ βασιλεὺς ὡς τὴν εἰρήνην μᾶλλον ἀσπάσοιντο καὶ τοὺς ἐχθροὺς προδοῖεν. οἱ δὲ εἰς ἀπολογίαν κατέστησαν συγγνώμην αἰτήσαντες καὶ τὰ πρὸς εἰρήνην ὑπισχνούμενοι. καὶ τὸν μὲν Ἀρτέμιον σὺν τῷ ἀρχιερεῖ Θεσσαλονίκης καὶ ἄλλους πλείστους δεσμώτας πρὸς βασιλέα πέμπουσι, καὶ Σισιννίου τοῦ πατρικίου τὴν κεφαλὴν ἐκτεμόντες ὡσαύτως στέλλουσιν οὕτω τε πρὸς τὴν ἑαυτῶν ἀπεχώρουν. Ἀρτέμιον δὲ σὺν τῷ ἀρχιεπισκόπῳ παραλαβὼν ἐν τῷ λεγομένῳ κυνηγίῳ ἀπέτεμεν. ἱππικὴν δὲ ἅμιλλαν ἐπιτελέσας τῶν ἀποτμηθέντων τὰς κεφαλὰς διὰ τοῦ ἱπποδρομίου ἐπὶ κοντοῦ ἀνηρτημένας ἐξεπόμπευε. τοὺς δὲ ἄλλους πάντας αἰκισάμενος καὶ τὰς ῥῖνας αὐτῶν ἐκτεμὼν καὶ δημεύσας ὑπερορίαις κατεδίκασε.

fol. 203r Ταῦτα οὖν καταπραξάμενος προσκαλεῖται Γερμανὸν τὸν

1 Ἰσόην *Theoph.* 616, 12 2 Θεόκτιστον P *scrib. monuit ex v.* 10 *et Theoph.* Θεοδόσιον c 4 τὸ ἐπίκλην? 10 Νικήτα *vulg.* Νικήταν c 12 παρέπεμψεν B 16 ἀσπάσαιντο? 23 κυνηγείῳ c *corr. vulg.* 25 ἐπὶ κοντοῦ] ἐπὶ κοντῷ c *cf.* p. 31, 3; 37, 4; 42, 13

Digitized by Google

τηνικαῦτα ἀρχιερέα πέμπτῃ καὶ εἰκάδι τοῦ Μαρτίου μηνὸς a. 720
τῆς τρίτης ἰνδικτιόνος, τῇ σωτηρίῳ τοῦ Χριστοῦ ἀναστάσει,
ἐν τῷ Τριβουναλίῳ λεγομένῳ δεκαεννέα ἀκουβίτων, στέφει 64 B
τὸν υἱὸν Κωνσταντῖνον εἰς βασιλέα.

Οἷον δὲ κατὰ τοὺς χρόνους ἐκείνους περὶ τὰς νήσους a. 726
τῆς τε Θήρας καὶ Θηρασίας καλουμένας συμβέβηκεν, αἳ πρὸς
τῷ Κρητικῷ πελάγει κεῖνται, παραδραμεῖν οὐκ ἄξιον. Θέρους
ὥρας ἐνεστηκυίας συνηνέχθη τὸν θαλάττιον βυθὸν πλεῖστον
ὅτι καπνώδη ἀτμὸν ἐξερεύγεσθαι, ἐξ οὗ ἐπὶ πολὺ πυκνου-
μένου τοῦ ἀέρας πῦρ ἐξαφθῆναι, καὶ μετὰ τὸ πῦρ λίθους
κισσιρώδεις διεκβρασθῆναι εἰς πλῆθος μέγιστον, ὥστε εἰς
εἶδος νήσου τοὺς λίθους συστῆναι, ἑνωθῆναί τε τὴν γὴν
τῇ Ἱερᾷ καλουμένῃ νήσῳ, ἣν δὴ καὶ αὐτήν φασι τῷ ὁμοίῳ
τρόπῳ τοῦ βυθίου ἀναδοθῆναι χώρου, καθάπερ καὶ τὰς
ῥηθείσας λόγος Θήραν καὶ Θηρασίαν νήσους. τῷ ἀπείρῳ
δὲ πλήθει τῶν ἀναδιδομένων λίθων ἀνὰ πᾶσαν κατεστορέσθαι
τὴν ἐκείνῃ θάλασσαν, ἐνθένδε τε ἀφικέσθαι ἄχρις Ἀβύδου
καὶ τῆς Ἀσιάτιδος παραθαλασσίου. ὑπεκκαίεσθαι δὲ τὸ
προσπελάζον ῥεῖθρον ὡς μηδὲ θιγγάνειν αὐτοῦ τινὰ ἱκα-
νῶς ἔχειν.

Ταῦτά φασιν ἀκούσαντα τὸν βασιλέα ὑπολαμβάνειν
θείας ὀργῆς εἶναι μηνύματα, καὶ ἥτις αἰτία ταῦτα κεκίνηκε
διασκέπτεσθαι. ἐντεῦθεν λοιπὸν κατὰ τῆς εὐσεβείας ἵσταται
καὶ τῶν ἱερῶν εἰκονισμάτων μελετᾷ τὴν καθαίρεσιν ὡς ἐκ
τῆς τούτων ἱδρύσεώς τε καὶ προσκυνήσεως γεγονέναι οἰόμε-
νος τὸ τεράστιον, κακῶς εἰδώς. ἐκδιδάσκειν δὲ τὸν λαὸν
τὸ οἰκεῖον ἐπεχείρει δόγμα. πολλοὶ γοῦν τὴν ὕβριν τῆς ἐκ-
κλησίας ἀπωλοφύροντο. διὸ δὴ καὶ οἱ τὴν Ἑλλάδα καὶ τὰς 65 B

3 στέφει τε τὸν B στέφειν τὸν? 12 τὴν γῆν B τῇ γῇ c (*cf. Theoph.* 622, 9 νῆσος ἀπογεωθεῖσα τῇ Ἱερᾷ νήσῳ συνήφθη) 13 τῷ ὁμοιοτρόπῳ c *corr. vulg.* 15 τὰ ἄπειρα δὲ πλήθη? 16 καταστορέσθαι c *corr. vulg.* 17 ἐκείνῃ B ἐκείνην c *cf.* p. 73, 21 25 τῆς τούτων $c^1$ τῆς τῶν c

Digitized by Google

a. 727 Κυκλάδας νήσους οἰκοῦντες οὐ προσιέμενοι τὸ δυσσέβημα πρὸς τὸν βασιλέα διαστασιάζουσι, καὶ πλεῖστον στόλον ἀθροίσαντες Κοσμᾶν τοὔνομα ἐφ' ἑαυτοῖς βασιλεύουσι. καὶ πρὸς τὴν βασιλεύουσαν ἦκον· οἷς συμμίσγουσι πολέμῳ οἱ τῆς πόλεως καὶ πολλὰς τῶν περὶ αὐτὸν νηῶν ἐνέπρησαν. οἱ δὲ τὴν ἧττταν θεασάμενοι τῷ βασιλεῖ προσφεύγουσι. τῶν δὲ περὶ αὐτὸν ἀρχόντων τις Ἀγαλλιανὸς ὄνομα, ταῦτα θεασάμενος καὶ τῆς σωτηρίας ἑαυτοῦ ἀπογνούς, σὺν τῇ πανοπλίᾳ ἑαυτὸν τῷ βυθῷ παραδέδωκε. Κοσμᾶς δὲ καὶ ἕτερός τις Στέφανος συλληφθέντες τὰς κεφαλὰς ἀπετμήθησαν.

a. 727 Τῷ δὲ ἐπιγενομένῳ θέρει πάλιν ἱππικὰ στρατεύματα τῶν Σαρακηνῶν πλεῖστα τῆς Ῥωμαίων ἀρχῆς κατέθεον, ὧν ἡγοῦντο Ἄμερος καὶ Μανίας ὀνομαζόμενοι Σαρακηνοί· καὶ καταλαμβάνουσι πρὸς τὴν προκαθεζομένην τῆς Βιθυνίας πόλιν Νίκαιαν καλουμένην· ἐπί τινα χρόνον τῆς πολιορκίας ἐχόμενοι τέλος ἄπρακτοι ἀπεπέμποντο.

Μετὰ δὴ ταῦτα ὁ βασιλεὺς ἀθροίζει πλεῖστον λαὸν τῆς fol. 203v πόλεως περὶ τὰ βασίλεια, καὶ συγκαλεῖ τὸν τότε τῆς πόλεως ἀρχιερέα Γερμανόν, καὶ συγγράφειν κατὰ τῆς καθαιρέσεως a. 730 τῶν εἰκόνων τῶν ἁγίων ἠνάγκαζεν. ὁ δὲ παρητεῖτο καὶ τὴν ἱερωσύνην ἀπέβαλεν, λέγων ὡς "ἄνευ οἰκουμενικῆς συνόδου ἔγγραφον πίστιν οὐκ ἐκτίθεμαι". ἐκεῖθεν ἐπὶ τὸν πατρικὸν οἶκον γενόμενος αὐτοῦ τὸν τῆς ζωῆς βιοτεύων διετέλεσε χρόνον. μετ' αὐτὸν δὲ προχειρίζονται ἀρχιερέα Ἀναστάσιον κληρικὸν τῆς μεγάλης ἐκκλησίας τυγχάνοντα. ἐξ ἐκείνου 66 B τοίνυν πολλοὶ τῶν εὐσεβούντων, ὅσοι τῷ βασιλείῳ οὐ συνετίθεντο δόγματι, τιμωρίας πλείστας καὶ αἰκισμοὺς ὑπέμενον.

a. 730 Ἐν ᾧ δὲ οὕτω ταῦτα ἐπράττετο, ἐκπέμπει ὁ βασιλεὺς πρὸς τὸν τοῦ ἔθνους τῶν Χαζάρων ἡγούμενον, καὶ τὴν

1 προσιέμενοι *vulg.* προιέμενοι c 5 περὶ αὐτῶν c 7 περὶ αὐτὸν *vulg.* περὶ αὐτῶν c ὀνόματι $c^2$ 14 καθεζομένην c corr. $c^2$ *in mg. et* P 15 καὶ ἐπὶ B ἐπί τε τινα? 19 ὑπογράφειν P καθιερώσεως?

Digitized by Google

αὐτοῦ θυγατέρα μεταπέμπεται καὶ τῷ υἱῷ Κωνσταντίνῳ εἰς γυναῖκα κατηγγύησε. χρόνου δὲ μεταξὺ παρελθόντος σεισμὸς a. 732
ἐνσκήπτει κατὰ τὸ Βυζάντιον, μεθ' οὗ καὶ πόλεσιν ἑτέραις καὶ χώραις ἰσχυρῶς ἐπιφύεται. καὶ ἤδη ἄλλους τε πολλοὺς οἴκους καὶ ἱεροὺς ναοὺς καὶ στοὰς ἀθρόον ἐπικαταβάλλει, ἐκ πρώτων βάθρων αὐτῶν ἔστιν οὓς τούτων ἀνατρέψας, καὶ τὸν Θεῖον νεὼν ὃν τῆς ἁγίας Εἰρήνης ἐπώνυμον καλοῦσι κατέσεισεν, ὃς πλησιαίτατα τῆς μεγάλης ἐκκλησίας ἵδρυται. μεθ' ὃν καὶ ὁ Ἀρκαδίου τοῦ πάλαι Ῥωμαίων τὰ σκῆπτρα ἰθύνοντος ἀνδριάς, ὃς κατὰ τὸν λεγόμενον λόφον Ξηρόλοφον καθύπερθε τοῦ γλυφαίου ἵδρυται κίονος, κατὰ γῆς ἄνωθεν ἔρριπτο. διέμεινε δὲ τὰ τοῦ σάλου ἄχρι καὶ εἰς ἐνιαυτὸν ὅλον· διὸ πλεῖστοι τῆς πόλεως προϊόντες καὶ ἔξω τειχῶν αὐλιζόμενοι ἐν καλύβαις κατέμενον.

Λέων δὲ ⟨μετὰ⟩ τέσσαρα καὶ εἴκοσι ἔτη τῆς βασιλείας a. 741
μεταλλάττει τὸν βίον ὑδέρῳ χαλεπῷ περιπεσών, διάδοχον δὲ τῆς ἀρχῆς τὸν υἱὸν Κωνσταντῖνον καταλιμπάνει. Ἀρτάβαζος δέ, ὃς γαμβρὸς Κωνσταντίνου ἐπ' ἀδελφῇ ὑπῆρχεν, ἅμα τῷ περιόντι λαῷ (στρατηγὸς δὲ τοῦ Ὀψικίου λαοῦ ἐτύγχανεν) καὶ τοῖς δυσὶν υἱέσιν, ὧν ὁ μὲν ἕτερος Νικήτας θάτερος 67 B
δὲ Νικηφόρος ἐκέκλητο, κατὰ τὸ λεγόμενον τοῦ Δορυλαίου πεδίον ηὐλίζετο. καὶ δὴ τυραννίδα εὐθὺς κατ' αὐτοῦ μελετᾷ, τὸν τοῦ πενθεροῦ θάνατον πυθόμενος· καὶ ὅρκοις τὸν ὑπὸ χεῖρα κατεδέσμει λαὸν αὐτῷ μὲν εὔνουν ἔσεσθαι, ἕτερον δὲ εἰς βασιλέα μὴ δέχεσθαι. Κωνσταντῖνος δὲ τῆς βασιλείας κρατήσας ἀπόμοιράν τινα στρατοῦ ἐπιλεξάμενος τῆς πόλεως ἔξεισι καὶ τὸ πεδίον ὃ Κρασὸς προσαγορεύεται κατα- a. 742
λαμβάνει καὶ Ἀρταβάζῳ ἐσήμαινεν ἥκειν πρὸς αὐτόν, ὡς

11 γλυφαίου *vulg.* γλυφάνου c 15 μετὰ add. P *Nisi forte scrib.* τέσσαρα καὶ εἴκοσι ἔτη τῆς βασιλείας μετασχών *vel simile quid. an* τῷ κδ' ἔτει? ἔτι c 17 Ἀραυάσδος *Theoph.* 638, 5 *sqq.* 19 παρόντι B *sed cf.* p. 39, 24; 73, 11 20 υἱέσιν ὧν, ὁ μὲν c *corr. vulg.* 28 πρὸς c *in mg, pr. m. ut vid.*: ÷ἀντὶ τοῦ πρὸς (*sic*)

Digitized by Google

fol. 204[1] ἂν ἅμα τῶν πολεμίων χάριν βουλεύσοιντο. ὁ δὲ ἤδη ὥρμα, οὐ βουλῆς ἕνεκεν, ἀλλὰ τῆς βασιλείας αὐτὸν καθαιρήσων. Κωνσταντῖνος δὲ τὰ τῆς τυραννίδος πυθόμενος, καὶ Βίσηρον τὴν ἀξίαν πατρίκιον προϋπαντήσαντα καὶ τῷ ξίφει τῶν ἀντιπάλων πεσόντα αἰσθόμενος, καὶ ὡς τὸ βασιλικὸν ἐσκευαγόγουν στρατόπεδον εἰσιδών, αὐτὸς πρὸς τῇ χώρᾳ τῶν ἀνατολικῶν καλουμένῃ φυγὰς ἐνθένδε ἀπιὼν τὴν σωτηρίαν τὴν ἑαυτοῦ περιεποιήσατο. καὶ αὐτοὶ εὐνοϊκῶς ὑποδεξάμενοι ἑνωμότους αὐτῷ συνθήκας δεδώκεσαν ὡς μέχρις αἵματος ὑπὲρ αὐτοῦ ἀνελέσθαι τὸν κίνδυνον, καὶ Ἀρτάβαζον αἰσχρῶς δυσφημοῦντες καθύβριζον. μεταστέλλονται γοῦν καὶ Σισίννιον τὸν πατρίκιον καὶ σύμφωνα καθίστων ἅμα τῷ ὑπ' αὐτὸν στρατηγουμένῳ τῶν Θρᾳκησίων λεγομένῳ λαῷ, καὶ ἅπαντες κατὰ Ἀρταβάζου ὠμῶς ἐχώρουν. Θεοφάνης δέ, ὃν Μονώτιον ἐκάλουν, τὴν τοῦ μαγίστρου ἀξίαν διέπων καὶ τὴν βασιλέως χρείαν εἰς Βυζάντιον ἀποπληρῶν, Ἀρταβάζῳ προσέθετο
68 B καὶ βασιλέα ἀνεκήρυττε, καὶ Βυζαντίους ἀνέπειθεν ὡς Κωνσταντῖνος τεθνήκει. τὸν δὲ υἱὸν Νικηφόρον τοὔνομα κατὰ τὴν Θρᾴκην τότε στρατηγοῦντα μεταπέμπεται καὶ σὺν τῷ περὶ αὐτὸν στρατῷ πρὸς φυλακὴν τῆς πόλεως ἐγκαθίστησι. τῶν βασιλικῶν δὲ ὑπηρετῶν οὓς μὲν ἀπετύφλου οὓς δὲ καὶ ἑτέρως κατήκιζε. καὶ Ἀρτάβαζος εὐθὺς τῷ συνόντι ἅμα λαῷ τῇ πόλει ἐφίσταται καὶ αὐτίκα τῶν ἁγίων ἀνίστη τὰ ἱερὰ ἀπεικονίσματα. τούτου δὲ κατόπιν ἰὼν Κωνσταντῖνος τὴν Χρυσόπολιν καλουμένην καταλαμβάνει· ἐπίνειον δὲ τοῦτο ἀντικρὺ Βυζαντίου πρὸς τῇ Ἀσιάτιδι γῇ διακείμενον. κἀντεῦθα βραχὺν διατρίψας χρόνον ὑπενόστει καὶ πρὸς τὴν
a. 743 πόλιν ἣν Ἀμόριον καλοῦσι διεχείμαζε. τῷ δὲ ἑξῆς ἐπιγενο-

3 *Βίσιρον vulg. Βησὴρ Theoph.* 638, 12 4 προϋπαντήσαντα P προσυπαντήσαντα c *cf. Theoph.* 638, 13 6 τῇ τῶν B 12 σύμφρονα $c^2$ 13 λεγομένων B *sed cf.* p. 52, 22; 61, 2 14 ὁμῶς *vulg.* Μονούτην *Theoph.* 18 τεθνήκοι B *coll.* p. 62, 10 27 βραχὺ c *corr. vulg.*

Digitized by Google

μένῳ ἐνιαυτῷ τὸν ἕτερον τῶν υἱῶν Νικήταν στρατηγὸν τοῦ καλουμένου τῶν Ἀρμενιάκων στρατοῦ Ἀρτάβαζος ἀποστέλλει, τὸν δ' αὖ ἕτερον Νικηφόρον εἰς βασιλέα στέφει. ἐπιστρατεύει δὲ κατὰ τῆς τῶν Ἀσιανῶν χώρας, καὶ τὰ ἐκείνῃ χωρία ἐσιαίνετο πικρῶς. καθ' ὃ ἐπιτίθεται Κωνσταντῖνος καὶ πρὸς τὰς Σάρδεις ὑπαντιάζει, πολέμῳ τε αὐτῷ συμμίξας κραταιῶς ἐτροπώσατο, τόν τε ὑπόντα λαὸν δουλωσάμενος τήν τε ὑποῦσαν αὐτοῖς ἀποσκευὴν εἰσποιησάμενος. Ἀρτάβαζος δὲ φυγὰς πρὸς τὴν πόλιν Κύζικον καταλαβων κἀκεῖθεν ἀποπλεύσας ἐπὶ τὸ Βυζάντιον ᾤχετο. Νικήτας δὲ ὁ αὐτοῦ υἱὸς κατὰ Κωνσταντίνου τὴν ὁρμὴν ἐποιεῖτο. ὁ δὲ πρός τι χωρίον αὐτῷ μάχῃ προσβαλών, Μωδρινὴν τῇ ἐπιχωρίῳ φωνῇ προσαγορευόμενον, αὐτὸν μὲν Νικήταν ἐτρέψατο, τοῦ δὲ fol. 204ᵛ συνόντος λαοῦ πλείστους ἀναιρεῖ. ἐντεῦθεν ἐν μεγίσταις συμφοραῖς τὰ Ῥωμαίων διέκειτο, ὁπηνίκα ἡ παρ' ἐκείνοις 69 B περὶ τῆς ἀρχῆς ἅμιλλα τὸν ἐμφύλιον Χριστιανοῖς ἀνερρίπισε πόλεμον. οἷα γὰρ καὶ ὅσα συμβαίνειν τοῖς τοιούτοις εἴωθε τὰ δεινότατα, ὡς καὶ τὴν φύσιν ἑαυτὴν ἐπιλανθάνεσθαι καὶ καθ' ἑαυτῆς ἵστασθαι (καὶ τί γὰρ δεῖ τἄλλα λέγειν;), πολλοὺς ἂν ἐν πείρᾳ καθεστηκέναι. ἐν τούτοις καθυπέρτερος Κωνσταντῖνος γενόμενος πρὸς τὰ Θρᾳκικὰ περαιοῦται χωρία καὶ τῷ τείχει προσεδρεύει τῆς πόλεως διεκώλυέ τε τὴν τῶν ἀναγκαίων εἰσφοράν· καὶ ἐκ τούτου ἐν μεγάλῃ ἦν ἡ πόλις ἀνάγκῃ, ὥστε τοῦ μεγίστου λιμοῦ τοὺς Βυζαντίους κατατείνοντος πολλοὺς μὲν συνέβαινε διαφθείρεσθαι, ἄλλους ὑπὲρ τειχῶν ἑαυτοὺς ἔξω ῥίπτειν βιαζομένους. οἱ δὲ καὶ δώροις ἔπειθον τοὺς ἐπὶ τῶν πυλῶν φύλακας κρύβδην ἐξ-

5 ἐπημαίνετο *vulg.* ἐλυμαίνετο B καθὸ c κᾰ̓τα *vulg.* καθ' οὗ? 12 Μωδρινὴ c *corr. vulg.* 15 ὁπην. εἰ παρ' ἐκείνοις περὶ τὴν τῆς ἀρχῆς ἅμιλλαν c *Petavii coniecturam secutus sum* 19 ἑαυτ[ῆς] c δεῖ] δὴ c 20 ἂν] οἶμαι B 21 περαιοῦται B περατοῦται c 24 τοὺς Βυζαντίους *vulg.* τοῖς Βυζαντίοις c κατατείνοντος πολλοὺς] κατατείνων τοὺς πολλοὺς c κατατείνοντος τοὺς πολλοὺς *vulg.*

Digitized by Google

ιέναι τῆς πόλεως. Κωνσταντῖνος δὲ ἅπαντας εὐμενῶς ἐδέχετο καὶ περιεποιεῖτο μάλιστα. αὖθις οὖν Νικήτας ἐπιστρατεύει καὶ μέχρι Χρυσοπόλεως παραγίνεται. Κωνσταντῖνος δὲ πάλιν αὐτῷ ἐπιτίθεται καὶ κατὰ τὴν Νικομηδέων καταλαμβάνει πόλιν, καὶ αὐτὸν μὲν χειρωσάμενος σιδήροις ἐδέσμει, Μαρκελλίνου δὲ τοῦ συνόντος αὐτῷ ἀρχιερέως τῆς Γαγγρηνῶν μητροπόλεως τὴν κεφαλὴν ἐξέτεμε. κἀκεῖθεν ἐπανελθὼν παραλαμβάνει τὸ Βυζάντιον. Ἀρτάβαζος δὲ ἀποδρὰς πρὸς τὴν ἐν Βιθυνίᾳ Νίκαιαν πόλιν διασώζεται, καὶ τοὺς ἐν αὐτῇ ἀνέπειθεν ὡς ἥκοι στρατολογήσων καὶ δύναμίν τινα ἐκεῖ περιβαλλόμενος. ἐξ ὧν ὀλίγους στρατιώτας προσλαβὼν ἐπὶ
70 B τὸ φρούριον τὸ λεγόμενον Πουζάνης ἀπιὼν ἐγκατακλείεται. Κωνσταντῖνος δὲ ἀπόμοιραν εἰς δίωξιν αὐτοῦ ἐκπέμψας αὐτόν τε χειροῦται, καὶ σὺν τοῖς υἱέσιν αὐτοῦ δεσμώτας ἐπὶ ἀγῶνος ἱππικοῦ ἕλκων θριαμβεύει ἐκεῖθέν τε ἐν εἰρκτῇ τηρεῖσθαι ἀσφαλῶς παραδέδωκεν. οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ Σισίννιος ὁ πατρίκιος τυραννίδα ἐφωράθη κατὰ Κωνσταντίνου μελετήσας, ἐφ' ᾗ διαγνωσθεὶς τοὺς ὀφθαλμοὺς ἐκκόπτεται. μετὰ ταῦτα δὲ καὶ Ἀρτάβαζος καὶ οἱ αὐτοῦ υἱοὶ τῇ αὐτῇ τιμωρίᾳ ἠκίσθησαν.

a. 746 Ταῦτα οὕτω τὰ τῆς ἰδίας ἀρχῆς διαθεὶς Κωνσταντῖνος μετὰ χρόνον οὐ πολὺν κατὰ τὴν χώραν τῶν Σαρακηνῶν ἐκστρατεύει, ὧν εἶλε πόλιν Γερμανίκειαν τῆς Εὐφρατησίας χώρας. εἰσπίπτει δὲ κατὰ τὴν βασιλεύουσαν καὶ τὰς κύκλῳ
a. 747 χώρας †, καὶ καθ' οὓς τόπους τὸ φθοροποιὸν ἐπεφύτευτο πά-
fol. 205r θος, ἅπαν ἀνθρώπων γένος ἐπινεμόμενον διώλλυέ τε καὶ ἄρδην ἐξηφάνιζε. διεσώθη δ' ἄν τις θεία πάντως βουλή-

2 καίπερ ἐποίει τὸ (sive τὰ) c καὶ περιεποιεῖτο c² 6 Γαγγρινῶν c corr. vulg. 9 τοὺς] τοῖς c τὰς vulg. ed. 2 cf. p. 60, 17 10 ἥκοι P οἶκοι c 20 c² in mg post ἠκίσθησαν add.: πλείσταις δὲ πληγαῖς καὶ τιμωρίαις καὶ οἱ συγγνῶντες αὐτοῖς τὰ τῆς ἐπιβουλῆς ὑποβληθέντες ὑπερωρίαις κατεδικάσθησαν. 23 Γερμανικίαν c corr. B 25 χώρας λοιμὸς μέγιστος· καὶ vel simile quid

σει, ὅστις ὡς πορρωτάτω τούτων τῶν χωρῶν ἀπέδρα. ἐπετείνετο δὲ τὰ τῆς φθορᾶς μάλιστα περὶ τὸ Βυζάντιον. τεράστια δ' οὖν καὶ δείματα ἐξαπίνης ἐφαίνετο· (τύποι σταυροειδεῖς ἔν τε ταῖς τῶν ἀνθρώπων στολαῖς καὶ τῶν ἱερῶν ἐσθημάτων ἐπανατέλλοντες, θύραις τε ὡσαύτως καὶ τοῖς τῶν θυρῶν σταθμοῖς,) ἃ δὴ φαινόμενα φρίκην μεγάλην καὶ ἀπορίαν πᾶσιν ἐνέτικτεν ὡς παραχρῆμα τὸν ὄλεθρον μηνύοντα ἔσεσθαι. ὥσπερ δὲ ἐξεστηκότες τῷ δέει οἱ ἄνθρωποι καὶ φαντασιούμενοι ἐδόκουν αὐτοῖς ὡς ξένοις τισὶ συνοδεύειν καὶ εἰδεχθέσιν ἀνθρώποις, καὶ εἶτα ὡς γνωρίμοις δῆθεν τοῖς ἐντυγχάνουσι προσαγορεύοντες, καὶ τὰ πρὸς τὴν ὁδὸν ὡμιλημένα ἑτέροις ἔπειτα ἀφηγούμενοι· καὶ ἄλλοι φάσμασί τισιν 71 B
ἐκδειματούμενοι ἑώρων ξίφεσιν ἀλλήλους τινὰς βάλλοντας. καὶ δὴ οὕτω τὰ πλεῖστα ἐξέβαινεν. οὐδὲ οἷοί τε ἦσαν οἱ περισωζόμενοι τῶν ἀποιχομένων ταφῇ παραδιδόναι τὰ σώματα καὶ τὴν ὁσίαν ἐπ' αὐτοῖς ποιεῖσθαι, ὀλιγοστοὶ μάλα πλείστους ἄγαν ἐκκομίζοντες. διὸ μηχανὰς ἔκ τινος περινοίας κατεσκεύαζον, σεσαγμένοις τοῖς ἀχθοφόροις ζῴοις σανίδας ἐπιστρωννύντες καὶ ἐπὶ μέγα τι χωρίον ἀπευρύνοντες τὸ μηχάνημα, οὕτω τε τὰ πλεῖστα τῶν πτωμάτων ἀκόσμως καὶ ὡς ἂν ἔτυχεν ἐπετίθεσαν. ἤδη δὲ καὶ ἅμαξαι πρὸς τὴν ἐκφορὰν τοῦ πλήθους τῶν νεκρῶν φορούμεναι ὑπηρέτουν, τῶν ὑποζυγίων αὐτοῖς μὴ ἐπαρκεῖν ἔτι δυναμένων. ἐπιλελοίπασι δὲ εἰς ἅπαξ καὶ οἱ τάφοι, ὥστε καὶ τὰς ἀνύδρους τῶν δεξαμενῶν νεκρῶν ἐμπλησθῆναι σωμάτων. ἄρουραι δὲ ἀνετέμνοντο καὶ ἀμπελῶνες διωρύσσοντο καὶ κῆποι διεσκάπτοντο πρὸς τὴν τῶν ἀπείρων σωμάτων ταφὴν καινοτομούν-

1 τούτω c *corr. vulg.* 2 δὲ οἱ τὰ c οἱ *om.* B 4 καὶ ἐπὶ τῶν? 5 ἐπανατέλλοντες, θύραις] ἐπανατέλλων ταῖς Θ. c ἐπανέτελλον ταῖς Θ. *vulg.* 9 αὐτοῖς c *corr.* B 10 ἠδεχθέσιν c *corr. vulg.* 12 ἄλλοις $c^2$ 13 ἀλλήλοις c *corr. vulg.* 14 οὐδὲ] ἐνουδε c ἐνουδέν $c^2$ *vulg. ed.* 1 ἐνουδενὶ δ' *vulg. ed.* 2 οὐδαμοῦ B 17 πλείστοις c πλεῖστοι *vulg. corr.* B 25 σωμάτων $c^2$ σώματα c 27 κενοτομούμεναι (*sic*) c *corr. vulg.*

Digitized by Google

μενοι. ἐξ ὧν συνέβαινε τοὺς πλείονας τῶν οἴκων κατακλείστους πάμπαν γίνεσθαι. παρέτεινε δὲ τὰ τῆς θραύσεως μέχρις ἐνιαυτοῦ, καὶ ἐξ ἐκείνου ἐνεδίδου τὰ πλεῖστα, καὶ κατὰ μικρόν, ὥσπερ τὴν ἀρχὴν ηὔξανεν, οὕτω δὴ καὶ ἐλώφησεν ἡ φθορά. ταῦτα ἐκρίνετο τοῖς ὀρθὰ φρονεῖν εἰδόσιν ἐκ θείας ἐπισκήπτειν ὀργῆς, ἡνίκα ὁ τότε ἀθέως καὶ δυσσεβῶς κρατῶν, καὶ ὅσοι αὐτῷ συνήνυον τῷ ἀθέσμῳ φρονήματι, τὰς χεῖρας ἐπαφεῖναι κατὰ τῶν ἁγίων ἀπεικονισμάτων εἰς ὕβριν τῆς τοῦ Χριστοῦ ἐκκλησίας τετολμήκασιν.

72 B Ἐντεῦθεν τοίνυν ἀοίκητον σχεδὸν ἤδη γεγονυῖαν τὴν πόλιν ταύτην κατοικίζει ἐκ τῶν χωρῶν καὶ τῶν νήσων τῆς a. 747 ὑπὸ Ῥωμαίοις ἐξουσίας λαῶν πλήθη μετάγων. ὑπὸ δὲ τοῦτον τὸν χρόνον στόλον ἐκπέμπει κατὰ τῆς τῶν Σαρακηνῶν fol. 205r χώρας, οὗ ἡγεῖτο ὁ τηνικαῦτα στρατηγῶν τῶν Κιβυραιωτῶν καλουμένου στρατοῦ. καθορμίζεται δὲ ὁ στόλος κατὰ τὴν Κύπρον νῆσον. ἔνθα αὐτίκα μάλα κατῆρεν ἐκ τῆς Ἀλεξάνδρου πόλεως καὶ τῶν Σαρακηνῶν πλόϊμον. ὅπερ ὁ στρατηγὸς προαισθόμενος ἐξαπιναίως εἰσπίπτει κατ' αὐτοῦ πυρί τε διαφλέξας τὰς ναῦς τὰ αὐτῶν σφετερίζεται ἅπαντα, καὶ κατὰ κράτος ἑλὼν τοὺς πολεμίους πρὸς Κωνσταντῖνον ὑπενόστει.

a. 750 Μετὰ ταῦτα τίκτεται τῷ βασιλεῖ υἱός, ὃν Λέοντα ἐπωνόμασε. τηνικαῦτα καὶ ἐν Συρίᾳ σεισμὸς μέγας γίνεται καὶ ὅλεθρος ἐκεῖθεν ἐφίσταται μέγιστος. αἱ μὲν γὰρ τῶν ἐκεῖ πόλεων ἐπὶ μέγα ἡ γῆ περὶ αὐταῖς ἔχανεν, αἱ δὲ παρὰ μέρος τοῦτο πεπόνθεισαν. ἄλλαι τῶν ὑψηλῶν ἀποκινηθεῖσαι χώρων πρὸς τὰ ὑποκείμενα πεδία σὺν τείχεσιν αὐτοῖς καὶ οἰκήμασι σῶοι κατεσύρησαν, μέχρι σημείων ἐξ [καὶ] τῆς οἰκείας μεταστᾶσαι ἱδρύσεως, ἢ μικρῷ πρός. ἤδη δέ τινες

9 τετολμήκασι *vulg.* τετολμηκόσι c 11 κατοικίζει c *corr. vulg.* 14 τῶν] τοῦ B τοῦ τῶν? Κιβυριωτῶν c *cf.* p. 40, 3 16 κατῆρεν] κατήρει c καταίρει *vulg.* 19 κατακράτως c *corr.* B 24 ἐπὶ] ὅλαι κατεπόθησαν καὶ ἐπὶ B (ὁλοκλήρως ἠφανίσθησαν· *Theoph.* 657, 10) 27 καὶ] ἀπὸ B καὶ *del.*? σῶαι *coll.* p. 22, 7 B (*item Theoph.* 657, 13)

Digitized by Google

ἔφασαν τὴν γῆν θεάσασθαι τὴν κατὰ τὴν Συρίαν Μεσοποταμίας βαγεῖσαν ἐπὶ σημείοις δύο βύθιον ἑτέραν ἀναβράσαι κάτωθεν γῆν ὥσπερ ἀμμώδη καὶ λευκοτάτην, συναναδοθῆναι δὲ ταύτῃ ἠμίονον θήλειαν ἀνθρωπείᾳ φωνῇ τὴν τῶν Ἀράβων κατάλυσιν προαναφωνοῦσαν. οὐ πολὺ γὰρ τὸ με- 73 B
ταξύ, καὶ τῆς ὑπερέκεινα ἐρήμου ἔθνος ἐπιφυὲν πλήθη τούτων πολλὰ ἀμαχὶ διεχειρίσατο.

Μετὰ δὲ ταῦτα στέφει Κωνσταντῖνος τὸν υἱὸν Λέοντα a. 751
εἰς βασιλέα καὶ εὐθὺς κατὰ Σαρακηνῶν ἐκστρατεύει. καὶ
γενόμενος κατὰ τὴν Μελιτηναίων πόλιν ταύτην πολιορκίᾳ
εἷλε, λαὸν πολὺν δοριάλωτον καὶ πλεῖστα σκῦλα ἐκεῖθεν a. 752
ἀπενεγκάμενος. ἐν τούτῳ δὲ ἐτελεύτα καὶ Μαρία ἡ Αὐγούστα
ἡ αὐτοῦ γαμετή. ὅπερ δὲ μετ' ὀλίγον συνέβαινε μνήμης
ἄξιον, οὐ παραδραμεῖν δίκαιον. συνηνέχθη γὰρ τηνικαῦτα
θέαμα φοβερὸν καὶ τεράστιον ξένον ἐξ ἀερίου γενέσθαι συμπτώματος, ὅπερ περὶ λύχνων ἁφὰς κατάρξαν διὰ πάσης
ἐφαίνετο νυκτός, ἔκπληξιν καὶ δέος μέγα τοῖς θεωμένοις
ἐμποιοῦν ἅπασιν. ἐδόκει γὰρ αὐτοῖς ὡς οἱ ἀστέρες ἅπαντες
τοῦ τεταγμένου αὐτοῖς οὐρανίου χώρου παρακινούμενοι κατὰ
γῆς ἐφέροντο. οἱ δὲ περίγειοι γενόμενοι ἀθρόον διελύοντο,
ἥκιστα τὴν οἱανοῦν βλάβην ποιησάμενοι πώποτε. φασὶ δὲ
πολλοὶ ὡς διὰ πάσης τῆς οἰκουμένης τὸ τοιοῦτον ἐξαίσιον
διεδείκνυτο θέαμα.

Καὶ τὰ μὲν τῶν ἀστέρων ἐν τούτοις ὤφθη· χρόνου δέ a. 754
τινος διῳχηκότος Ἀναστάσιος ὁ τοῦ Βυζαντίου ἐτελεύτα ἱεράρχης. Κωνσταντῖνος δὲ καθ' ἅπαξ πρὸς τὴν ὕβριν τῆς ἐκκλησίας ἰδὼν καὶ πρὸς τὴν εὐσέβειαν ἤδη ἀπομαχόμενος,
ὡς ὑπὸ τοῦ ἄγοντος αὐτὸν ἐναντίου πνεύματος κινούμενος, fol. 206r
σύνοδον ἱερέων ἀθροίζει ὀκτὼ καὶ τριάκοντα καὶ τριακοσίους 74 B
τὸν ἀριθμὸν τυγχάνουσαν, (ταύτης ἐξῆρχε Θεοδόσιος ὁ τῆς

1 τὴν τῆς κατὰ τὴν B 4 ταύτην c *corr. vulg.* ἀνθρωπίᾳ c ἀνθρωπίνῃ *vulg.* 15 συμπτώματα c *corr. vulg.* 24 ἀστέρων $c^2$ in lacuna codicis 29 ἱερέων] *v sec. m. in lit.* τριακοσίων P



Digitized by Google

Ἐφεσίων πόλεως ἀρχιεπίσκοπος) ἀρχιερέα τε τῆς πόλεως ἀνακηρύσσει Κωνσταντῖνόν τινα τὸ τῶν μοναχῶν σχῆμα περιβεβλημένον, ἐπίσκοπον δὲ τῆς τοῦ Συλλαίου πόλεως γεγονότα. ὅρον δὲ πίστεως ἐκτίθενται, ἐν ᾧ ὑπεσημήναντο ἅπαντες κακῶς καὶ δυσσεβῶς συμφρονήσαντες, τὴν τῶν ἱερῶν εἰκονισμάτων καθαίρεσιν ἐκφωνήσαντες· καὶ ὥσπερ νηπιωδεῖς ἐπ' ἀγορᾶς ταῦτα ἀνεθεμάτιζον. μεθ' ὧν καὶ Γερμανὸν τὸν ἀρχιερέα τοῦ Βυζαντίου γεγονότα Γεώργιόν τε τὸν ἐκ Κύπρου τῆς νήσου ὁρμώμενον καὶ Ἰωάννην τὸν ἀπὸ Δαμασκοῦ τῆς Συρίας τὸ ἐπίκλην Μανσούρ.

a. 756 Ταῦτα ἐπιτελῆ ποιήσας Κωνσταντῖνος ἦρξε δομεῖσθαι τὰ ἐπὶ Θρᾴκης πολίσματα, ἐν οἷς οἰκίζει Σύρους καὶ Ἀρμενίους, υὓς ἔκ τε Μελιτηναίων πόλεως καὶ Θεοδοσιουπόλεως μετανάστας πεποίηκε, τὰ εἰς τὴν χρείαν αὐτοῖς ἀνήκοντα φιλοτίμως δωρησάμενος. ταῦτα τοίνυν οἱ Βούλγαροι ὡς ἐπολίζοντο θεασάμενοι, φόρους ἤτουν παρὰ βασιλεῖ δέξασθαι. τοῦ δὲ μὴ δεξαμένου οἵ γε στρατευσάμενοι τὰ ἐπὶ Θρᾴκης χωρία κατέτρεχον καὶ μικροῦ τοῦ μακροῦ καλουμένου τείχους ἐπεξέθεον. ὁ δὲ ἀντεπεξῄει καὶ συμβαλὼν πολέμῳ εἰς φυγὴν ἐτρέψατο καὶ ἐδίωκεν ἀνὰ κράτος καὶ πλείστους Βουλγάρους ἀνεῖλε. μετ' οὐ πολὺ πλοῖ καὶ πεζῇ κατ' αὐτῶν ἐστράτευεν. οἱ γοῦν τὰς ναῦς ἔχοντες ἄχρι καὶ εἰς πεντακοσίους τὸν
75 B ἀριθμὸν συντελούσας, διὰ τοῦ Εὐξείνου ἐκπλεύσαντες καὶ πρὸς τῷ Ἴστρῳ γενόμενοι ποταμῷ χώρας τε Βουλγάρων ἐπίμπρασαν καὶ δοριαλώτους οὐκ ὀλίγους εἷλον· αὐτὸς δὲ μάχῃ συμμίξας αὐτοῖς κατὰ τὰς λεγομένας Μαρκέλλας (φρούριον δὲ τοῦτο πλησιαίτατα Βουλγάρων κείμενον) εἰς φυγὴν ἐτρέ-

7 *νηπιωδ[ῶς]* c μεθ' ὃν c *corr.* B 10 *ἐπίκλιν* c *corr. vulg.* 11 *ἐπὶ τέλει* c *corr.* P 13 *ἔκ τε τῆς M.*? 18 *μικροῦ*] *μέχρι* B *μικροῦ δεῖν μέχρι*? 19 *πόλεμον*? *cf.* p. 40, 9 20 *ἀνακράτως* c *corr.* B 21 *πεζῖ* c *corr. vulg.* 22 *πεντακοσίας* B 23 *συντελούσας* $c^2$ *συνελ-θούσας* c *cf.* p. 29, 1; 68, 29; 73, 13 24 *Ἴστρῳ* c *corr. vulg.*

Digitized by Google

ψατο καὶ πολλοὺς αὐτῶν ἔκτεινεν. ἐντεῦθεν ἐκεῖνοι τὸ ἧττον ἀπενεγκάμενοι περὶ εἰρήνης διεπρεσβεύοντο ἐκ τῶν οἰκείων τέκνων ὁμήρους προϊέμενοι.

Ἔτι πρὸς τούτοις οὐδὲ ἐκεῖνο νῦν παραδραμεῖν ἄξιον. a. 764
ὥρα ἐνέστηκε φθινοπώρου, καὶ ἐν αὐτῇ χειμέριον γίνεται τὸ κατάστημα καὶ τῷ ὄντι κρυερὸν καὶ δριμύτατον, ὡς ξένην τινὰ καὶ ἐξαίσιον τοῖς τηνικαῦτα ὁρῶσιν ἀποτελέσαι τῆς ὑγρᾶς οὐσίας ἐκ τῆς περὶ αὐτὴν συμβάσης πήξεως τὴν θέαν, οὐκ ἐν τοῖς γλυκέσιν ὕδασι μόνον, ἀλλὰ, τὸ δὴ παραδοξότερον, καὶ κατὰ τῆς ἁλμυρᾶς ἰσχῦσαν ποιότητος, καὶ ἐν ἄλλοις μὲν πλείστοις τοῖς ἀνὰ τὴν οἰκουμένην τόποις, οὐχ ἥκιστα δὲ τά τε ὑπερβόρεια καὶ προσάρκτια καταπῆξαν δεινότατα. ἐπὶ τοσοῦτο δὲ κατεπυκνοῦτο καὶ διεπήγνυεν ὥστε τὴν ὑπερπόντιον τοῦ Εὐξείνου Θάλασσαν ἐπὶ σημείοις ἑκατόν που fol. 206ᵛ
ἀποκρυσταλλωθῆναι κατὰ τὸ πέλαγος, εἶτα καὶ τοὺς ὑπερκειμένους μεγίστους ὅτι μάλιστα καὶ πλείστους ποταμῶν, καὶ ἔτι τὸν ἐπὶ Μεσήμβρειαν καὶ Μήδειαν πόλιν ἐρχόμενον παράκτιον χῶρον τῷ πάγει συναποπετρωθῆναι, διὰ βάθους χωρησάσης τῆς τοιαύτης πήξεως ἄχρι καὶ εἰς τριάκοντα πήχεις· ἐπὶ τούτοις ἀφάτου καταρραγείσης χιόνος εἰς ὕψος διαρθῆναι τὸ κρύος ὑπερανεστηκὸς τῆς ἐπιφανείας μέχρι 76 B
πηχῶν που ἄλλων εἴκοσι, καί πως συμφυῆναι τῇ ἠπείρῳ τὴν Θάλασσαν ὡς μηδὲ διακρῖναι ῥᾳδίως ποτέρα ἑτέρας ἀποκέκριται. οὕτω τε ἅπαν τὸ πρὸς ἄρκτους ἠπειρωθὲν ὕδωρ πεζεύειν κατὰ νώτου συνεχώρει τοῖς βουλομένοις, βάσιμά τε ἦν τὰ ἐκείνῃ ἅπαντα, ὅσα τε ἐν τοῖς τῶν Χαζάρων γῆς μεθορίοις καὶ τοῖς πλησιοχώροις Σκυθικοῖς ἔθνεσι, καὶ οὐκ

10 ἴσχυσαν c ἰσχύσασαν c² *corr. vulg.* πιότητος c *corr. vulg.* 12 ὑπερβόρια c *corr. vulg.* 13 κατεπύκνου τε B 15 τῆς ὑπερκειμένης μεγίστης c *corr.* c² 16 πλείστους c² πλειστῶν c πλείστους τῶν π.? 17 τὸν — ἐρχόμενον B τοῦ — ἀρχομένην c *cf. Theoph.* 670, 5 18 βάθους τε χωρ. B 22 τὴν Θάλασσαν c² τῆς Θαλάσσης c *cf. Theoph.* 670, 8 24 ἄρκτον c² 26 ἐκείνῃ B ἐκείνης c ἐκείνη c² *cf.* p. 61, 4; 73 21



Digitized by Google

ἀνθρώποις μόνον ἀλλὰ καὶ κτήνεσι καὶ ζῴοις ἑτέροις γενόμενα· ἅπλωτον δὲ ἤδη ἐντεῦθεν γενέσθαι τὴν Ποντικὴν τότε θάλασσαν. ἡμέραις δέ τισι διιππευούσαις καὶ ὁ ἄπλετος ἐκεῖνος τοῦ παγέτου ὀλκὸς εἰς διάφορα συρρήγνυται τμήματα, ἅπερ εἰς τοσοῦτον ὕψος ἀνέσχεν ὡς ὄρη δοκεῖν εἶναι ὑπερύψηλα. τούτων ἀπορραγέντα μέρη τινὰ καὶ τῇ βίᾳ τῶν πνευμάτων συνωθούμενα πρός τε Δαφνουσίαν, φρούριον [ὄν] τι τῆς Ποντικῆς μοίρας ἐρυμνότατον τυγχάνον, ἐξοκέλλουσι καὶ ἄχρι τοῦ στομίου τοῦ Εὐξείνου κατέρρουσι· συστραφέντα δὲ πρὸς ἑαυτὰ κατὰ τὸν αὐτόθι στενὸν πόρον, τὸν μεταξὺ πορθμὸν πληρώσαντα τὰς ἑκατέρωθεν ἠπείρους, τήν τε Θράκην καὶ τὴν Ἀσιάτιδα, ἀλλήλαις συννήνωσαν, ὡς ἐξ ἑκατέρας πρὸς θατέραν πεζῇ μᾶλλον ἢ πλοῖ διαπεραιοῦσθαι ἐξεῖναι τῷ βουλομένῳ. ἐκεῖθεν συνωθούμενα ἀνὰ τὴν Προποντίδα μέχρις Ἀβύδου ἐξεχύθησαν, ἥπερ δὴ οὐδὲ θάλασσα εἶναι τὸ λοιπὸν ὑπωπτεύετο. τούτων ἓν ἀποσπασθὲν τῇ ἀκροπόλει τοῦ Βυζαντίου προσαράσσεται καὶ τὸ αὐτόθι τεῖχος περιέσεισεν ὡς καὶ τοὺς ἔνδον οἰκοῦντας συμμετασχεῖν
77 B τοῦ σάλου. καὶ τοῦτο τριχῇ διαιρεθὲν παρ' ἑκάτερα μέρη τῆς ἀκροπόλεως τὰς ἀκτὰς ἐμπίπλησι. τὸ δὲ ὕψος αὐτοῖς τῶν τῆς πόλεως τειχῶν ὑπερανέστηκε, δι' αὐτῶν τέ τινες ἐξ ἀκροπόλεως πρὸς τὸ ἀντικρύ, ἐν οἷς τῶν Γαλάτου λεγόμενον ἵδρυται φρούριον, πεζῇ διεπεραιοῦντο. ταῦτα ἔκπληξιν μεγίστην τοῖς τῆς πόλεως ἐνεποίει· τῷ παραδόξῳ γὰρ καὶ ἀδοκήτῳ τῆς θέας ἐν ἀπορίᾳ γενόμενοι θρήνοις καὶ δάκρυσι πλείστοις συνεχόμενοι ἐνθένδε ἀπηλλάσσοντο.

fol. 207r Χρόνων δὲ οὐκ ὀλίγων διελθόντων, Σκλαβηνῶν γένη τῆς ἑαυτῶν μεταναστάντα γῆς φυγάδες διαπερῶσι τὸν Εὔξεινον. συνετέλει δὲ αὐτῶν τὸ πλῆθος ἄχρι καὶ εἰς ἀριθμὸν

7 φρουρίων ὄντι c φρουρίον ὄντι $c^2$ φρούριον ὄν τι *vulg.* ὂν *del.*? 13 πεξῇ c *corr. vulg.* 15 εἴπερ — θάλασσαν c *corr. vulg.* 22 τὸ Γαλάτου *vel* Γαλατῶν P τὸ τῶν Γ.? 24 διεπεραιοῦτο c *corr. vulg.* 27 οὐκ] οὖν?

Digitized by Google

ὀκτὼ καὶ διακοσίας χιλιάδας. καὶ πρὸς τὸν ποταμὸν ὃς Ἀρτάνας καλεῖται αὐτοὶ κατοικίζονται.

Τὰ δὲ κατὰ τοὺς Οὔννους Βουλγάρους ἐπράττετο τῇδε. οὗτοι τὰ πρὸς ἀλλήλους συνθέμενοι τοὺς μὲν ἐκ σειρᾶς τὴν κυρείαν τὴν ἐπ' αὐτοὺς κεκτημένους κτείνουσιν, ἡγεμόνα δὲ ἐφ' ἑαυτοῖς καθιστᾶσι Τελέσσιον ὄνομα, ἄνδρα σοβαρὸν καὶ τὸ ἐκ νεότητος θράσος ἅμα ἐπιδεικνύμενον. οὗτος λαὸν συναγείρας ὁπλίτην καὶ μάχιμον τὰ πλησιαίτερα τῶν Ῥωμαίων χωρία καὶ φρούρια κατέτρεχε καρτερῶς. οὗ τὸ θρασὺ καὶ αὖθαδες Κωνσταντῖνος θεασάμενος ναῦς ἱππαγωγοὺς ἄχρι καὶ εἰς τὰς ὀκτακοσίας κατεσκεύασε, καὶ ταύτας ἱππικῷ στρατῷ πληρώσας διὰ τοῦ Εὐξείνου πρὸς τὸν Ἴστρον ἐξέπεμψεν. αὐτὸς δὲ στρατὸν ἕτερον ἐπαγόμενος πρὸς Ἀγχίαλον πόλιν παραγίνεται. καθ' ὃν Τελέσσιος ἐξέρχεται ἔχων εἰς συμμαχίαν καὶ Σκλαβηνῶν οὐκ ὀλίγα πλήθη. καὶ ἥττηθεὶς μάχῃ εἰς φυγὴν ἐτράπετο. πλεῖστοι δὲ τῶν πολεμίων ἀφ' ἑκατέρου μέρους πίπτουσι, καὶ ἄλλοι οὐκ ὀλίγοι καὶ τῶν ἐπιφανεστέρων ἐζωγρήθησαν. οὕτω τε τοῦ πολέμου κρατήσας πρὸς τὸ Βυζάντιον Κωνσταντῖνος ᾤχετο, καὶ οὓς ἐπήγετο τῶν ἐζωγρημένων τοῖς τε πολίταις καὶ τοῖς ἐκ τῶν λεγομένων χρωμάτων δημόταις ὡς ἀναιρήσειν αὐτοχειρίᾳ παραδίδωσιν. οἱ δὲ λαβόντες ἔξω τείχους τοῦ πρὸς τῷ χερσαίῳ κειμένου ἀνεῖλον. καὶ τούτων τὰ λάφυρα τὸν ἱππικὸν ἀγῶνα θεώμενος ἐθριάμβευσεν. μεθ' ὧν καὶ δύο χρυσοῖ λουτῆρες, οἳ ἐν τῇ νήσῳ κατεσκευάσθησαν Σικελίᾳ, δημοσιεύονται, ὁλκὴν χρυσοῦ ἄχρι καὶ εἰς ὀκτακοσίας λιτρῶν ἕκαστον ἄγοντα. 78 B

3 *Οὔννους καὶ Βουλγ.* P 4 *σειρᾶς scr. ex Theoph.* 667, 15 *ξηρᾶς* c 5 *αὐτ[οὺς] κεκτημέν[ους]* c *ἐπ' αὐτοῖς?* 6 *Τελέσσιον* c² *Τελεσσιων* c *ὀνόματι* c² 12 *Ἴστρον* c *corr. vulg.* 14 *καθ' ὃν* c *καθ' οὗ* B *καθ' ὧν? Τελέσιος* c *cf. v.* 6; p. 70, 1 19 *ἐπείγετο* c *η in mg. pr. m., signo addito ἠπείγετο legendum esse* 23 *κειμένου* P *κειμένῳ* c 26 *λίτρας* B

Digitized by Google

Οἱ δὲ Βούλγαροι τὸ δυστυχὲς Τελεσσίου θεασάμενοι τοῦτόν τε στασιάσαντες κτείνουσι, καὶ κύριον αὐτῶν καθιστῶσιν ἕνα τῶν ἐν αὐτοῖς ἀρχόντων τυγχάνοντα, ᾧ Σαβῖνος ὑπῆρχεν ὄνομα· ὃς εὐθὺς τὸ κῦρος δεξάμενος πρὸς βασιλέα διαπρεσβεύεται, εἰρήνην αὐτὸν αἰτούμενος βεβαιότατα. Βουλγάρους δὲ οὐκ ἤρεσκε τὸ πραττόμενον· ἀλύοντες γὰρ ἐν τούτῳ ἰσχυρῶς ἀντέλεγον, οἰόμενοι ὡς Ῥωμαίοις αὐτίκα δουλωθησόμενοι. τούτους δεδιὼς Σαβῖνος φυγὰς πρὸς βασιλέα ᾤχετο. εὐζώνων δὲ ἀποστείλας ἀνδρῶν τινὰς τὰς γυναῖκας αὐτῶν καὶ τοὺς συγγενεῖς κεκρυμμένους εὑρὼν πρὸς Σαβῖνον ἄγει. ἐν τούτοις μεταμεληθέντες οἱ Βούλγαροι καὶ αὐτοὶ πέμπουσι
79 B πρὸς βασιλέα τοὺς τὴν εἰρήνην αἰτήσοντας. ὁ δὲ οὐκ ἐδέ-
fol. 207v χετο, ἀλλ' εὐθὺς κατ' αὐτῶν ἐξεστράτευσεν. οἱ δὲ τὰς δυσχωρίας τοῦ περὶ αὐτοὺς ὄρους ἀνέφραττον. καὶ τούτων ὁ κύριος τὰ πιστὰ παρὰ βασιλέως λαβὼν σὺν τοῖς ἄρχουσιν αὐτοῦ πρὸς βασιλέα παραγίνεται. αὐτὸς δὲ τούτους δεξάμενος ἅμα Σαβίνῳ συμπαρεδρεύοντι ὠνείδισε τὴν ἀταξίαν καὶ τὸ μῖσος ὃ κατὰ Σαβίνου ἐπεδείξαντο, καὶ εἰρηνεύειν αὐτοῖς συνετίθετο.

a. 763 Ταῦτα διεπράττετο κατὰ τὴν πρώτην ἰνδικτιόνα. ἔτι καὶ υἱὸς τίκτεται τῷ βασιλεῖ, ὃν Νικήταν ὠνόμασεν. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον στόλος τῶν Σαρακηνῶν ἐξ Ἀφρικῆς ἀπάρας κατὰ τῆς νήσου Σικελίας παραγίνεται· τὸ δὲ ἐν αὐτῇ στρατιωτικὸν γενναίως ἀντιταξάμενον τούτοις, μηδὲν τῆς ἐλπίδος ἠνυκότας ἀπέπεμψε.

a. 765 Κατὰ δὲ τὴν τρίτην ἰνδικτιόνα εἰσέρχεται Κωνσταντῖνος εἰς Βουλγαρίαν τῷ τὸν ἀρχηγὸν αὐτῶν κατασταθέντα ὑπὸ Σαβίνου Οὔμαρον ὄνομα τῆς ἀρχῆς μεταστῆσαι Βουλγάρους, ἀνειπεῖν δ' ἐν αὐτῇ Τόκτον ἄνδρα Βούλγαρον τὸν Βαϊα-

2 αὐτῶν *vulg.* αὐτὸν c 3 ᾧ *vulg.* ὃς c 4 ὀνόματι $c^2$ 5 αὐτὸν] αὐτῷ c αὐτοῦ *vulg.* 14 τοῦ περὶ αὐτοὺς ὄρους *vulg.* το . . περὶ αυτ . . ὄρους c τοὺς περὶ αὐτοὺς τὸ ὄρος $c^2$ *ut vid.* 17 ἀταξίαν P ἀξίαν c 19 διεπράττετο] δὴ ἐπράττετο? 26 τῷ *vulg.* τὸ c 27 ὀνόματι $c^2$ μεταστήσειν· Βουλγάρους ἂν εἰπεῖν c *corr. vulg.*

Digitized by Google

νοῦ ἀδελφόν. οἱ δὲ Βουλγάρων φυγάδες ἐν ταῖς ὕλαις τοῦ ποταμοῦ τοῦ Ἴστρου ἀπῴχοντο, οὐκ ὀλίγοι δὲ αὐτῶν κατακτείνονται, μεθ' ὧν καὶ ὁ Τόκτος ἅμα τῷ ἀδελφῷ Βαϊανῷ ἀναιρεῖται καὶ ἕτεροι. ἄλλος δέ τις ἄρχων αὐτῶν, ὃν ὀνομάζουσι Καμπαγάνον, ἐν Βάρνῃ [προσφυγεῖν] ὡς ἐδόκει προσρύεσθαι ὑπὸ τῶν ἰδίων δούλων ἀνῃρέθη. τότε δὴ καὶ Βουλγαρίας ὑπὸ Ῥωμαίων πυρίκαυτα ὡς πλεῖστα χωρία γέγονε καὶ διόλωλεν.

Ἤδη δὲ ἡ ἀσέβεια τοῦ κρατοῦντος ἐπαρρησιάζετο, καὶ 80 B
πᾶσα εὐσεβείας ὁδὸς διεβάλλετο καὶ τῶν εὐσεβούντων καὶ θεῷ προσανακειμένων ὁ βίος ἐχλευάζετο καὶ διεσκώπτετο, μάλιστα δὲ τῶν μοναζόντων τὸ ἱερὸν ἐκθέσμως ἐδιώκετο τάγμα. τούτων γὰρ τοὺς τὴν ἑαυτῶν ὁμολογίαν φυλάξαντας καὶ ἐπὶ τοῦ οἰκείου διαμείναντας σχήματος καὶ τῷ ἀνοσίῳ αὐτῶν ἀνθεστηκότας δόγματι ποικίλαις βασάνοις καὶ διαφόροις αἰκίαις παρεδίδοσαν, καὶ ὧν μὲν τὴν γενειάδα ἀφειδῶς ἐνεπίμπρων, ὧν δὲ τῶν ταύτης τριχῶν βίᾳ ἀποσπῶντες ἀφῄρουν. κεφαλὰς δ' ἄλλων τοῖς ἱεροῖς πίναξιν, ἐν οἷς τῶν ἁγίων τὰ ἐκτυμπώματα ἐκεχάρακτο, διέθρανον παίοντες. καὶ μέντοι καὶ ὀφθαλμοὺς τούτων διώρυττον ἢ τῶν μελῶν ἕτερα τοῦ σώματος ἐξέκοπτον ἀπανθρώπως οἱ δείλαιοι. καὶ ἅπαν ὡς εἰπεῖν τὸ εὐσεβὲς διωθεῖτο καὶ ἀπηλαύνετο, καὶ ὥσπερ ἑλληνισμοῦ δευτέρου Χριστιανοῖς ἐπιφυέντος πᾶσα μηχανὴ κακουργίας ἐπενοεῖτο, δι' ἧς τοὺς κατὰ Θεὸν ζῆν αἱρουμένους ἐπηρεάζειν καὶ πημαίνειν ἐσπούδαζον. ἤδη δὲ τούτων ἐνίους πρὸς τὸ τῆς οἰκείας ἀπωλείας καθείλκυσαν βάραθρον, καὶ τῷ δυσσεβεῖ αὐτῶν εἶξαν θε- fol. 208r
σπίσματι ἢ βίᾳ ἑλκόμενοι ἢ ἀπάτῃ ὑποσυρόμενοι ἢ θωπείαις ὑποκλεπτόμενοι ἢ χρήμασι δελεαζόμενοι ἢ στρατείαις

1 *Βούλγαροι* c² 2 *Ἴστρου* c *corr. vulg.* 3 *μεθ' ὧν* c² *μέων* c 4 *Idem qui Παγανὸς vel Παγάνος apud Theoph.* 673, 7? *προσφυγὼν* B *προσφυγεῖν del?* 10 *διεβάλετο* c 25 *πημαίνειν* c² *ποιμαίνειν* c 27 *ἧξαν* c *corr. vulg.*

Digitized by Google

καὶ ἀξιωμάτων † φιλοτιμούμενοι, ἢ ἑτέραις πολυτρόποις τοῦ πονηροῦ μεθοδείαις τὴν ἐξαπάτην εἰσδεχόμενοι τὸ ἐπάγγελμά τε ἠθέτουν καὶ τὸ σεμνὸν μεταμφιεννύμενοι στόλισμα κομῆται αὐτοὶ ἀντὶ κεκαρμένων διεδείκνυντο καὶ εἰς λαϊκῶν
81 B σχῆμα εὐθὺς μεθηρμόζοντο, γυναιξί τε ὁμιλεῖν κατεδέχοντο καὶ τὸ πρὸς αὐτὰς ἡσπάζοντο συνοικέσιον. ἐπράττετο γοῦν ταῦτα, ὡς ἂν διὰ πάντων αὐτός τε ὁ τῶν ὅλων Θεὸς τό γε ἐπ' αὐτοῖς ἀτιμάζηται καὶ τὰ τῆς ἐκκλησίας καθυβρίζηται τίμια.

a. 765 Ἐντεῦθεν συλλαμβάνονται Στέφανόν τινα, ἄνδρα ὅσιον καὶ θεοφιλῆ τυγχάνοντα, μοναστὴν δὲ τῷ σχήματι καὶ περιειργμένον ἐν οἰκιδίῳ στενωτάτῳ πάνυ ὑπάρχοντα, ὑπὸ τὴν τοῦ μεγίστου ὄρους ἱδρυμένον ἀκρώρειαν, ὃ καλοῦσι τοῦ ὁσίου *Αὐξεντίου* λόφον. ἔγκλημά τε εὐσεβείας ἐπάγουσιν αὐτῷ οἱ ἀνόσιοι, "ὡς πολλούς", φασίν, "ἐξαπατᾷ διδάσκων δόξης τῆς παρούσης καταφρονεῖν οἴκων τε καὶ συγγενείας ὑπερορᾶν καὶ τὰς βασιλείους αὐλὰς ἀποστρέφεσθαι καὶ πρὸς τὸν μονήρη βίον μεταρρυθμίζεσθαι". καὶ διὰ ταῦτα πληγαῖς τε πλείσταις αἰκισάμενοι καὶ δεσμωτήριον οἰκεῖν καταδικάσαντες, τέλος σχοινίοις αὐτὸν κατὰ τοὺς πόδας ἐξάψαντες καὶ τῶν βασιλικῶν ἀφορμήσαντες περιβόλων, μέχρι τῆς λεγομένης τοῦ Βοὸς ἀγορᾶς ἑλκύσαντες διέσπασαν, καὶ αὐτοῦ τὸ σῶμα ἐν τοῖς καλουμένοις τάφοις τῶν *Πελαγίου* ὡς κακούργου οἱ δυσσεβεῖς ἀπέρριψαν· αὐτόθι γὰρ τά τε τῶν ἐθνικῶν ἀμυήτων σώματα καὶ τῶν ἐπὶ θανάτῳ ἀπηγορευμένῳ τελευτώντων ἐξεπέμπετο. πλείστους τῶν τε ἐν τέλει καὶ τοῦ στρατιωτικοῦ ὑπευθύνους καθιστῶντες, προσκυνεῖν

1 καὶ ἀξιωμάτων *ὑποσχέσεσι φιλ.? an* καὶ ἀξ. φιλοτιμίαις κινούμενοι? 13 ἱδρυμένῳ B 14 ὁσίου *sec. m. in lit.*, ὀν' . . . . . ς c. *reliqua non dignoscuntur* 18 διὰ *vulg.* δὴ c 19 οἰκεῖν] οἰκ *sec. m. in lit.* c. *post* οἰκεῖν c ὡς *exhibet sec. m. deletum* 23 Πελαγίων B *coll.* p. 75, 22 *at cf. Theoph.* 674, 14 κακοῦργον *lit. factum ex* κακούργου c 26 πλείστους δὲ τῶν τε B

Digitized by Google

ἱεραῖς εἰκόσι καταιτιώμενοι, ὥσπερ ἐπὶ καθοσιώσει ἁλόντας διέφθειραν, οὓς μὲν διαφόροις θανάτοις παραδιδόντες, οὓς δὲ τιμωρίαις ξέναις καθυποβάλλοντες, πλήθη τε ἄπειρα ὑπερορίαις παραπέμποντες. ἐφ' οἷς ὅρκοις βεβαιοῦν ἐβουλεύσαντο 82 B
ἅπαν αὐτοῖς τὸ ὑπήκοον ὡς τὸ λοιπὸν εἰκόνι μὴ προσκυνεῖν ἁγίων τινά. φασὶ δὲ ὡς καὶ τὸν τηνικαῦτα τῆς πόλεως ἀρχιερέα θεασάμενοι ὑψώσαντα τὰ ζῳοποιὰ ξύλα ὁμωμοκέναι μηδ' αὐτὸν εἶναι τῶν προσκυνούντων τὰς ἱερὰς εἰκόνας. τοιαῦτα τῶν ἀσεβούντων τὰ τολμήματα.

Τῷ δὲ αὐτῷ ἔτει ἐπιστρατεύει Κωνσταντῖνος κατὰ Βουλ- a. 766
γάρων καὶ παραγίνεται σὺν τῷ περιόντι λαῷ ἐγγύτατα τῆς Βουλγάρων γῆς καὶ σκηνοῦται παρὰ τὴν λεγομένην ἐμβολὴν Βεριγάβων. πλόϊμον δὲ ἐξοπλίσας συντελοῦν περὶ τὰ δισχίλια καὶ ἑξακόσια σκάφη, ναυτικὸν δὲ πλῆθος καὶ στρατιω- fol. 208ᵛ
τικὸν ἔκ τε τῶν πλοΐμων στρατηγίδων καὶ ἑτέρων χώρων ἐμβαλὼν ἐν αὐτοῖς ἀπέστειλεν, ὥστε παραγενέσθαι περί τε Μεσήμβρειαν καὶ Ἀγχίαλον τὰ πολίσματα καὶ προσπελάζειν Βουλγάροις. ἐντεῦθεν οὖν περικυτηθέντες οἱ Βούλγαροι τότε, τὸ ἱππικὸν καὶ πλόϊμον θεασάμενοι πλῆθος, εἰς συμβάσεις τῷ βασιλεῖ ἐτράποντο. ἐπεὶ δὲ τὸ πλόϊμον πρὸς ταῖς ἀκταῖς τῆς ἐκείνῃ θαλάσσης καθωρμίζετο (ἀλίμενος γὰρ ὁ τόπος καὶ τοῖς πλέουσι δυσφορώτατος), πνεῦμα βίαιον καὶ σκληρὸν κατ' αὐτῆς πνεῦσαν (βορέας δ' ἦν ἄνεμος) τάς τε ναῦς πρὸς ταῖς ἀκταῖς περιτρέψας συνέτριψε καὶ πλήθη τῶν εἰσπλεόντων οὐκ ὀλίγα τῷ ῥοθίῳ κατεπόντισεν. ἐν τούτοις ἄγαν θορυβηθέντα τὸν βασιλέα κελεῦσαι τοὺς ἄρχοντας δικτύοις περιβαλεῖν τὴν θάλασσαν, ὡς ἀνελέσθαι τῶν ἀποπνιγέντων τὰ σώματα καὶ τῇ γῇ παραδιδόναι, οὕτω τε πρὸς τὰ βασίλεια ὑποστρέψαι.

13 *Βερεγάβων Theoph.* 549, 11; 664, 17 16 παραγενέσθαι] γενέσθαι *praecedente lacuna* c 19 συμβάσ[εις] c 26 θορυβηθέντα B θορυβηθέντες c θορυβηθέντα φασὶ τὸν β.?

Digitized by Google

83 B Ἔτι δὲ πνέων κατὰ τῆς εὐσεβείας τὸ ἱερὸν τῶν Ναζηραίων σχῆμα καθύβριζεν. εὐθὺς γὰρ ἀγῶνα ἱππικὸν ἐπετέλει, καί τινας τούτων ἐπιτρέπει ἐν μέσῳ τῷ θεάτρῳ διέλκεσθαι καὶ αὐτῶν ἕκαστον γυναῖκα μονάστριαν παρὰ χεῖρα φέρειν· πολλῶν τε παρὰ τοῦ πλήθους τῶν θεωμένων ὕβρεων αὐτοῖς καὶ ἐμπτυσμάτων, οἷα περὶ τὸ ὀχλῶδες καὶ ἀγελαῖον συμβαίνειν εἴωθε, καταχεθέντων οὕτω τὸν ἄθεσμον ἐκεῖνον καὶ αἴσχιστον διήνυσαν δίαυλον. μετὰ δὲ ταῦτα ἄνδρας τινὰς τῶν ἐν ὑπεροχαῖς καὶ ἀξιώμασιν ἐγκλήμασι βαρυτάτοις συκοφαντῶν ὑπάγει ὡς εἰς τὴν ἀρχὴν αὐτῷ ἐπιβουλεύειν πειρωμένους. τούτων δ' ἦν Ἀντίοχος μὲν ὁ τῶν δημοσίων πραγμάτων τὰς ὑπομνήσεις αὐτῷ διακομίζων (λογοθέτην δὲ τοῦ δρόμου τὴν ἀξίαν οἱ περὶ τὰ βασίλεια καλοῦσι), Θεοφύλακτος δὲ ἐν τοῖς πατρικίοις καὶ στρατηγοῖς διατελῶν, ἔτι μὴν καὶ ἄλλοι τῶν περὶ αὐτὸν ἀσπιδηφόρων καὶ δορυφόρων τυγχάνοντες, πρὸς δὲ καὶ τούτων ἐκτὸς ἕτεροι. μετ' οὐ πολὺ τὴν ὁμοίαν ἐπιτελῶν ἅμιλλαν δεσμώτας ἐνταῦθα περιελκύσας ἐθριάμβευε· καὶ τῇ ἑξῆς Κωνσταντῖνον μὲν καὶ Στρατήγιον ἀδελφοὺς ὑπάρχοντας θανάτῳ κατεδίκασε, καὶ ἤδη τούτων τὰς κεφαλὰς ἐν τῷ λεγομένῳ τῆς πόλεως κυνηγίῳ ἀπέτεμεν, ἄλλων δ' αὖ τοὺς ὀφθαλμοὺς ἐξέκοψε. καὶ τῇ ὑστεραίᾳ παρασκευάζει τῶν οἰκείων τινὰς Κωνσταντίνου τοῦ τῆς πόλεως ἀρχιερέως ὅρκον κατ' αὐτοῦ ἐξυφῆναι κατηγορίαν, διελέγχειν δὲ φανερῶς ὡς παρ' αὐτοῦ ἀκηκοέναι πάντα τὰ παρὰ τῶν περὶ Ἀντίοχον καὶ Θεοφύλακτον μελετώμενα.
84 B καὶ εὐθὺς ἐκεῖνον μὲν ἐξόριστον ἐν τῇ Ἱερίᾳ, οὕτω καλουμένου βασιλικοῦ παλατίου ἀντιπέρα πρὸς εὖρον ἄνεμον τοῦ

1 ἀσεβείας c *corr.* B 7 κατασχεθέντων c καταχυθέντων *vulg.* 14 τελῶν? 15 ἀσπιδιφόρων c *corr.* B 16 οὓς μετ' B τ. ἐκτὸς ἑτέρους μετ'? 23 ὅρκιον C ἔνορκον P ὅρκον c 25 παρὰ τὸν c *corr. vulg.* 26 ἐκείνων c *corr. vulg.* 26 ἐν τοῖς τῆς Ἱερίας — κειμένου? *cf.* p. 25, 10 *an* (οὕτω καλούμενον βασιλικὸν παλάτιον — κείμενον) *cf.* p. 44, 10 27 αὐτιπέρα c *corr. vulg.*

Digitized by Google

*Βυζαντίου κείμενον, παρέπεμψε, Νικήταν δὲ πρεσβύτερον* fol. 309r
*τῆς τῶν ἁγίων ἀποστόλων ἐκκλησίας εὐνοῦχον προχειρίζεται*
*ἀρχιερέα. ταῦτα δὲ πάντα ἐπράττετο κατὰ τὸν Αὔγουστον*
*μῆνα τῆς τετάρτης ἰνδικτιόνος.*

[*Κατὰ δὲ τὸν Ὀκτώβριον μῆνα τῆς ἕκτης ἰνδικτιόνος*] a. 767
*μετ' οὐ πολὺ δὲ μεταπέμπεται Κωνσταντῖνον καὶ ἀποστέλλει*
*πρὸς τὸ ἱερὸν φορείῳ ἐποχούμενον. συνεκπέμπει δέ τινα*
*αὐτῷ τῶν βασιλικῶν γραμματέων κομίζοντα ἐν γραμματίῳ*
*ὅσα κατ' αὐτοῦ· ἅπερ εἰς ὑπήκοον τοῦ ἀθροισθέντος ἐκεῖσε*
*λαοῦ ἀνέγνω, παίων αὐτὸν κατὰ κόρρης ἐφ' ἑνὶ ἑκάστῳ*
*τῶν κατηγορουμένων. καὶ οὕτως ἐπὶ τοῦ ἄμβωνος ἀνενέγκαν-*
*τες καθαιροῦσι, τοῦ νέου πατριάρχου πρὸς τῷ θυσιαστηρίῳ*
*τὰ τοιαῦτα αἰτιάματα ὑπαναγινώσκοντος. καὶ τῇ ἑξῆς τὴν*
*συνήθη αὐτῷ ἱππικὴν ἀγωνίαν ἐπιτελῶν ἐπιτρέπει αὐτὸν ἐπ'*
*ὄνου προσιζηκότα, τῆς καθέδρας αὐτῷ πρὸς τοῖς ὀπισθίοις*
*τοῦ ζῴου περιτραπείσης, καὶ ἐκεῖσε διέλκεσθαι καὶ ὑπὸ τοῦ*
*λαοῦ παντὸς δυσφημεῖσθαί τε καὶ καταπτύεσθαι. εἶτα μετ'*
*οὐ πολὺ ἐν τῷ τῆς πόλεως κυνηγίῳ τὴν κεφαλὴν αὐτοῦ*
*ἀποτμηθῆναι προστέταχε, καὶ τὴν μὲν ἐν τῷ καλουμένῳ*
*Μιλίῳ ἐξαρτηθεῖσαν μετέωρον φέρεσθαι, τὸ δ' αὐτοῦ σῶμα*
*σχοινίοις διασύρουσιν ἀνὰ τὰς λεωφόρους τῆς πόλεως εἰς*
*τοὺς τῶν Πελαγίων καλουμένους τάφους ἐξέριπτον.*

*Πέμπτῃ δὲ ἰνδικτιόνι ἀβροχίας ἐπικρατούσης αὐχμῶδες* a. 766/7
*καὶ ξηρὸν γέγονε τὸ κατάστημα, ὡς καὶ αὐτὴν ἐπιλελοιπέναι* 85 B
*τὴν ἀέριον δρόσον, ἔτι καὶ τὰ πηγαῖα ὑποστέλλεσθαι νά-*
*ματα, ἀργά τε μένειν ἐντεῦθεν καὶ τὰ λουτρὰ τῶν ἐκδοχείων*
*κενῶν ὑπαρξάντων. ἐκ τούτου βουλεύεται Κωνσταντῖνος τὸν*
*τοῦ ὕδατος ὁλκὸν ἀνακαινίζειν ὃν Βαλεντινιανὸς ὁ βασιλεὺς*
*κατεσκεύασεν, ὑπὸ δὲ Ἀβάρων ἐπὶ τῶν Ἡρακλείου χρόνων*

5 *κατὰ — ἰνδικτιόνος del.?* 7 *φορίῳ* c *corr.* B 8 *γραμματείῳ?* 9 *ἐπήκοον* B 10 *αὐτὸν* B *coll.* p. 6, 20 *αὐτῷ* c 21 *διασύραντες* an *διασυρὲν* B *εἴς τε τοὺς? εἰς τοὺς — καλ. τάφους*] *εἰς τῆς — καλουμένης ταφῆς* c *εἰς τὴν — καλουμένην ταφὴν* B *cf.* p. 72, 23

Digitized by Google

τοῦ βασιλέως καταστραφέντα. καὶ πλείστους ἄνδρας τεχνίτας εἰς οἰκοδομὴν ἐμπείρους ἐκ τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς συναθροίσας, πολλά τε δαπανήματα αὐτοῖς ἐκ τῶν δημοσίων χρημάτων προσαναλώσας, οὕτω τὸ τοιοῦτον ἔργον ἐτέλεσε. φιλόχρυσος δὲ ὢν ὁ μισόχριστος νέος Μίδας Κωνσταντῖνος ἀναδείκνυται καὶ τὸν χρυσὸν ἅπαντα ἀποθησαυρίζει. ἐν οἷς συνέβαινεν ἐν ταῖς τῶν φόρων πράξεσι τῶν φορολογουμένων βιαζομένων εὐώνως τὰ τῆς γῆς καρπήματα καὶ γεννήματα διαπιπράσκεσθαι, ὡς τῷ νομίσματι ἑξήκοντα μοδίους σίτου διαγοράζεσθαι, κριθῆς δὲ ἑβδομήκοντα, καὶ πλεῖστα ἄγαν βραχεῖα πάνυ ἀπεμπολεῖσθαι ποσότητι. ὅπερ τοῖς μὲν ἀνοήτοις εὐφορία τε γῆς καὶ πραγμάτων εὐθηνία
fol. 209ᵛ ἐνομίζετο, τοῖς δὲ εὖ φρονοῦσι τυραννίδος καὶ φιλοχρηματίας ἔργον καὶ ἀπανθρωπίας νόσος ἐκρίνετο.

a. 768/9 Κατὰ δὲ τὴν ἑβδόμην ἰνδικτιόνα τίκτεται υἱὸς Κωνσταντίνῳ, ὃν ἐκάλεσεν Ἄνθιμον. ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν Νικήτας ὁ τῆς πόλεως πρόεδρος τινὰ μὲν τῶν ἐκ χρόνου διαφθαρέντα τῆς καθολικῆς ἐκκλησίας ἀνακαινίζει κτίσματα, τὰς δὲ ἐν τοῖς ἐκεῖσε ἱδρυμένοις τῶν προόδων οἴκοις, ἃς
86 B Ῥωμαῖοι σέκρετα καλοῦσι, τό τε μικρὸν δόμημα καὶ τὸ μέγα, τοῦ σωτῆρος καὶ τῶν ἁγίων οὔσας διὰ ψηφίδων χρυσῶν καὶ κηροχύτου ὕλης εἰκονογραφίας ἀπέξυσε. Κωνσταντῖνος δὲ τοὺς τῶν Σκλαβηνῶν ἀποστέλλει ἄρχοντας καὶ ἀνακαλεῖται τοὺς ἐκ πλείονος χρόνου παρ' αὐτοῖς αἰχμαλωτισθέντας Χριστιανοὺς ἀπό τε Ἴμβρου καὶ Τενέδου καὶ Σαμοθράκης τῶν νήσων, σηρικοῖς ἱματίοις τούτους ἀμειψάμενος, τὸν ἀριθμὸν ὄντας ἄχρι δισχιλίων καὶ πεντακοσίων, καὶ πρὸς ἑαυτὸν ἀγαγὼν καὶ μικρὰ φιλοτιμησάμενος ἀπέπεμψε πορεύεσθαι οὗ ἂν βούλοιτο ἕκαστος.

5 ὁ *νέος* c ὁ *del.* c² 9 *γενήματα* c *corr.* B 18 *διαφθαρέντων* B *τῶν del.*? 19 *οὓς*? 20 *Ῥωμαίοις* c *corr. vulg.* *σεκρετα sine acc.* c *δώμημα* c *corr. vulg.* 23 *δὲ πρὸς τοὺς*? 26 *σειρικοῖς* c *corr.* B *σηρ. τε ἱμ.* B

Τῇ ἑβδόμῃ ἰνδικτιόνι, κατὰ τὸν Ἀπρίλιον μῆνα, τῷ ἁγίῳ σαββάτῳ στέφει Κωνσταντῖνος τὴν ἑαυτοῦ γυναῖκα Εὐδοκίαν Αὐγούσταν, καὶ τῇ ἐπαύριον τῶν υἱῶν αὐτοῦ τοὺς μὲν δύο Χριστοφόρον καὶ Νικηφόρον Καίσαρας, Νικήταν δὲ νοβελίσιμον. τῆς δὲ βασιλικῆς προόδου κατὰ τὸ εἰωθὸς ἐπὶ τὴν καθολικὴν ἐκκλησίαν γενομένης ὑπατείαν ἐποίησαν καὶ τοῖς παρελθοῦσι χρήματα διένειμαν, ἐκ τοῦ παλατίου ἀρξάμενοι μέχρι τῆς ἐκκλησίας τοῦτο ἐπιτελοῦντες. ὀγδόῃ δὲ ἰνδικτιόνι ἄγεται Κωνσταντῖνος εἰς υἱὸν Λέοντα γαμετὴν ἐκ τῆς Ἑλλάδος Εἰρήνην, καὶ τῷ Δεκεμβρίῳ μηνὶ στέφει τε αὐτὴν Αὐγούσταν καὶ τῷ υἱῷ ζεύξας τὸν γάμον ἐπιτελεῖ. a. 769

1 Ἀπρήλιον c *corr. vulg.* 3 τῶν υἱῶν *om.* c τὸν υἱὸν *mg.* c *sec. m.* 5 ὀβελίσιμον c *corr. vulg.*

Digitized by Google

Digitized by Google

# ΝΙΚΗΦΟΡΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

*Χρονογραφικὸν σύντομον.*

Digitized by Google

## CONSPECTUS NOTARUM.

B Codex Oxon. Baroccianus 196
E Codex Paris. Regius 233
L Codex Oxon. Laudianus 39
M Codex Monacensis Graecus 510
P Codex Paris. Regius 1320
S Codex Paris. Supplem. 67
N Significat, omnes qui quoque loco ex his sex extant codices inter se congruere.

---

C Codex Coislinianus 133
J Codex Jenensis
O Codex Oxon. Auct. F. 6, 26
R Codex Paris. Regius 1711
N′ Significat omnes, qui quoque loco ex his quattuor extant codices eandem lectionem praebere.

---

A Anastasii bibliothecarii historia ecclesiastica ed. Bonn.

---

Digitized by Google

*Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως χρονογραφικὸν σύντομον.*

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ ὁμολογητοῦ χρονογραφία σύντομος ἀπὸ Ἀδὰμ μέχρι τῶν χρόνων Μιχαὴλ καὶ Θεοφίλου.

*Ἀδάμ, πρῶτος ἄνθρωπος, γενόμενος ἐτῶν σλ΄ γεννᾷ τὸν Σὴθ καὶ ἐπέζησεν ἔτη ψ΄ μέχρι τοῦ Μαλελεήλ· ὁμοῦ ἔζησεν ἔτη ϡλ΄.*

Ἀδὰμ γενόμενος ἐτῶν σλ΄ γεννᾷ τὸν Σὴθ καὶ ἐπέζησεν ἔτη ψ΄.

*Σὴθ γενόμενος ἐτῶν σε΄ ἐγέννησε τὸν Ἐνὼς καὶ ἐπέζησεν . . . . . .*
*ἔτη ϡιβ΄.*

Σὴθ γενόμενος ἐτῶν σε΄ ἐγέννησε τὸν Ἐνώς.

*Ἐνὼς γενόμενος ἐτῶν ρϙ΄ ἐγέννησε τὸν Καϊνὰν καὶ ἐπέζησεν ἔτη ψιε΄ μέχρι νγ΄ ἔτους Μαθουσάλα· ὁμοῦ ἔζησεν ἔτη ϡε΄.*

Ἐνὼς γενόμενος ἐτῶν ρϙ΄ ἐγέννησε τὸν Καϊνάν.

*De inscriptione libri vid. in praefatione* 10 *μέχρι ρλ΄ ἔτους Μαλ.* E *μέχρι ρλε΄ ἔτους M.*? *ὁμοῦ πᾶς ὁ χρόνος τῆς ζωῆς αὐτοῦ ἐννακόσια τριάκοντα ἔτη* S *similiterque identidem in sqq.* 13 *καὶ* E *om.* BMPS *Lacunam sic explet* E *καὶ ἐπέζησεν ἔτη ψξ΄ μέχρι κε΄ ἔτους Ἐνῶχ· ὁμοῦ ἔζησεν ἔτη ϡβ΄* 15 ϡβ΄ *codd.* 17 *Καϊνὰν codd.*

1 τοῦ ἐν ἁγίοις — ὁμολογητοῦ *om.* R τοῦ ἐν ἁγίοις — Κωνσταντινουπόλεως J *m. sec.* 5 τῶν *om.* R 6 Θεοφίλου υἱοῦ αὐτοῦ ἔχουσα οὕτως R 8 ἐπέζησεν ὁ αὐτὸς Ἀδὰμ R



Digitized by Google

*Καϊνὰν γενόμενος ἐτῶν ρο΄ ἐγέννησε τὸν Μαλελεὴλ καὶ ἐπέζησεν ἔτη ψμ΄ μέχρις πα΄ ἔτους Λάμεχ· ὁμοῦ ἔζησεν ἔτη ,ψι΄.*

Καϊνὰν γενόμενος ἐτῶν ρο΄ ἐγέννησε τὸν Μαλελεήλ.

*Μαλελεὴλ γενόμενος ἐτῶν ρξε΄ γεννᾷ τὸν Ἰάρεδ, καὶ ἐπέζησεν ἔτη ψλ΄ μέχρι μή΄ ἔτους Νῶε· ὁμοῦ ζήσας ἔτη ωϱε΄.*

Μαλελεὴλ γενόμενος ἐτῶν ρξε΄ γεννᾷ τὸν Ἰάρεδ.

*Ἰάρεδ γενόμενος ἐτῶν ρξβ΄ γεννᾷ τὸν Ἐνὼχ καὶ ἐπέζησεν ἔτη ω΄ μέχρις πε΄ ἔτους Νῶε· ὁμοῦ ζήσας ἔτη ,ϡξβ΄.*

Ἰάρεδ γενόμενος ἐτῶν ρξβ΄ γεννᾷ τὸν Ἐνώχ.

*Ἐνὼχ γενόμενος ἐτῶν ρξε΄ γεννᾷ τὸν Μαθουσάλα καὶ ἐπέζησεν ἔτη σ΄ καὶ μετετέθη ἐν ἔτει λγ΄ τοῦ Λάμεχ.*

Ἐνὼχ γενόμενος ἐτῶν ρξε΄ γεννᾷ τὸν Μαθουσάλα.

. . . . . Μαθουσάλα γενόμενος ἐτῶν ρξζ΄ γεννᾷ τὸν Λάμεχ.

. . . . . *ὁμοῦ ζήσας ἔτη ,ϡξθ΄ κατ' αὐτὸν τελευτᾷ τὸν κατακλυσμόν.*

1 *Καϊνᾶν* MS *Καϊνᾶς* E 8 *ψλ΄*] *ἑπτακόσια τεσσαράκοντα* S 9 *ζήσας*] *ἔζησε* E 12 *ἔτη ω΄* E *ἔτη υ΄* B M P S 13 *ἔζησε* E 17 *ιγ΄* E 18 *sqq. sic explere studet* E *et ipse mutilus: Μαθουσάλα γενόμενος ἐτῶν ρξζ΄ ἔτη ,ϡθ΄· Λάμεχ γενόμενος ἐτῶν ρπη΄ γεννᾷ τὸν Νῶε καὶ ἐπιζήσας ἔτη φλε΄ τοῦ Νῶε πρῶτος οὗτος ὁ Λάμεχ πρὸ τοῦ ἰδίου πατρὸς Μαθουσάλα ἐτελεύτησεν· κατ' αὐτὸν γὰρ ἐτελεύτησεν ὁ Μαθ. τὸν κατακλυσμόν.*

6 καὶ Μαλ. O 10 καὶ Ἰάρεδ O 14 ρξε΄ — 18 ἐτῶν ρξζ΄ *om.* R

Digitized by Google

*Λάμεχ γενόμενος ἐτῶν ρπή' γεννᾷ τὸν Νῶε.*

Λάμεχ γενόμενος ἐτῶν ρπή· γεννᾷ τὸν Νῶε.

*Νῶε γενόμενος ἐτῶν φ' γεννᾷ τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ· καὶ ἐπέζησε μέχρι τοῦ κατακλυσμοῦ ἔτη ρ'.*

Νῶε γενόμενος ἐτῶν φ' γεννᾷ τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. καὶ ἐπέζησε μέχρι τοῦ κατακλυσμοῦ ἔτη ρ'.

*Ἔτους χ' Νῶε ὁ κατακλυσμὸς ἐγένετο καὶ ἐπέζησε μετὰ τὸν κατακλυσμὸν ἔτη τν' μέχρις πγ' ἔτους Ἕβερ.*

Ἔτους χ' Νῶε ὁ κατακλυσμὸς ἐγένετο.

*Ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως του κατακλυσμοῦ κατὰ τοὺς ο' ἔτη ,βσμβ'.*

Ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ κατὰ τοὺς ο' ἔτη ,βσμβ', οἷς καὶ ἡ ἀλήθεια ἐπιμαρτυρεῖ καὶ αἱ ἀνέκαθεν πάσαις ταῖς ἐκκλησίαις ἐπικρατήσασαι παραδόσεις.

*Μετὰ δὲ τὸν κατακλυσμὸν ἔτους β'*

Μετὰ δὲ τὸν κατακλυσμὸν

*Σήμ, υἱὸς Νῶε, . . . . . γεννᾷ τὸν Ἀρφαξὰδ καὶ ἐπέζησεν ἔτη φ' μέχρις ρα' ἔτους Φαλέκ.*

Σήμ, υἱὸς Νῶε, γενόμενος ἐτῶν ρ' γεννᾷ τὸν Ἀρφαξάδ.

*Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Καϊνάν, ὥς τινες εἶπον· παρὰ γὰρ τοῖς ο' οὐκ ἐμφέρεται.*

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Καϊνάν.

5 Ἰάφεδ PS καὶ ἔζησε Νῶε μέχρι E · 10 τή BS 11 Ἔβερ BMPS 13 κατὰ τοὺς ο' ἑρμηνευτὰς E κατὰ τοὺς ο' ἔτη om. S ,βσμ' E ,βσμή' B 21 ὁ υἱὸς MS 24 ρα' — 25 ἐτῶν om. MS 26 Καϊνᾶν BEMS

1 ἐτῶν om. R ρπή' R et O corr. ex ριή'. ρπ' JA 7 ἔτει R 14 ὡς — ἐπιμαρτυρεῖ R ὡς — μαρτυρεῖ O 25 ρλε' R.



Digitized by Google

*Καϊνὰν γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Σάλα.*
*Σάλα γενόμενος ἐτῶν ρλγ' γεννᾷ τὸν Ἕβερ.*
*Ἕβερ γενόμενος ἐτῶν ρλγ' γεννᾷ τὸν Φαλέκ.*
*Φαλὲκ γενόμενος ἐτῶν ρλγ' γεννᾷ τὸν Ῥαγαῦ.*

*Ἐν δὲ ταῖς ἡμέραις Φαλὲκ διεμερίσθη ἡ γῆ· διὸ καὶ σημαίνει τὸ Φαλὲκ ὄνομα τῇ Ἑβραίων φωνῇ μερισμόν. καὶ οὗτος πρὸ τοῦ πατρὸς τελευτᾷ· κατὰ τοῦτον ἡ πυργοποιΐα συνέστη καὶ ἀπὸ μιᾶς τῆς πάλαι διαλέκτου πολυφωνία γέγονε καὶ καθ' ἕκαστον ἔθνος τῶν γλωσσῶν διαφορά, ὥς φησιν ἡ θεία γραφή.*

*Μετὰ δὲ Φαλὲκ*

*Ῥαγαῦ γενόμενος ἐτῶν ρλε' γεννᾷ τὸν Σερούχ.*
*Σεροὺχ γενόμενος ἐτῶν ρλζ' γεννᾷ τὸν Ναχώρ.*
*Ναχὼρ γενόμενος ἐτῶν οθ' γεννᾷ τὸν Θάρρα.*
*Θάρρα γενόμενος ἐτῶν ο' γεννᾷ τὸν Ἀβραάμ.*

*Ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως τέλους Ἀβραὰμ ἔτη ͵γτι⟨δ'⟩, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἔτη ͵αοβ'.*

*Ἀβραὰμ ὑπάρχοντος αὐτοῦ οε' ἔτους θείου χρησμοῦ ἀξιοῦται καὶ τῆς πρὸς αὐτὸν γενομένης ἐπαγγελίας· ἀφ' ἧς ἐπὶ τὴν διὰ Μωσέως ἐξ Αἰγύπτου πορείαν γίνονται ἔτη υλ', ὡς καὶ ὁ ἀπόστολος μαρτυρεῖ λέγων· "διαθήκην*

1 *Καϊνᾶν* EMS *ρλγ'* R 1 *ρλ'* — 2 *ἐτῶν om.* EMS *Σαλὰ* J *item v.* 2 2 *et* 3 *Ἔβερ codd. praeter* E 3 *ρλδ'* J *τὸν Φαλέκ om.* E *Φάλεκ* S *ubique* 4 *ρλ'* E *Ῥααῦ* S *Ραῦ* E *Ῥαγὰβ* O 5 *ἐδιεμερίσθη* J 6 *μερισμὸς* R *μερισμοῦ* S 7 *καὶ οὗτος πρὸ τοῦ πατρὸς* N'E *οὗτος πρῶτος τοῦ πατρὸς* (*αὐτοῦ* add. S) N *praeter* E *ἐπὶ τούτου* N' 9 *διαφωνία* R *καὶ ἡ καθ'* N' 10 *ὡς* BMOPS *καθὼς* E *om.* JR *θεία om.* E 12 *Ῥαγὰβ* MO *Ραῦ* E 13 *om.* E *ρλη'* R 14 *γεννᾶ* — 15 *ἐτῶν ο' om.* E *Θάρρα* N *Θάρα* N' 16 *γτι'* N *ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ κατὰ τοὺς ο' ἔτη ͵γτκδ'* N' *ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τοῦ Ἀβραὰμ ἔτη ͵απβ'* N' 18 *ὑπάρχοντος αὐτοῦ οε' ἔτους* BMP *ὑπάρχων οε' ἐτῶν* E *δὲ ὑπάρχων οε' ἔτους* S *οε' ἔτος ἄγων* N' *χρησμοῦ*] *χαρίσματος* R 19 *καὶ τῆς — ἐπαγγελίας om.* N 20 *Μωϋσέως* N' 21 *ὁ ἀπόστολος*] Ep. ad Gal. III, 17

Digitized by Google

*⟨προκεκυρωμένην⟩ ὑπὸ τοῦ θεοῦ ὁ μετὰ υλ΄ ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν". καὶ αὐτὸς ἐν ἐξόδῳ συνάδει Μωσῆς, ἐν οἷς φησιν· "ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν ἐν Αἰγύπτῳ καὶ ἐν γῇ Χαναάν, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἔτη υλ'".* [καὶ κατὰ μέρος δὲ οὕτως ἔχει]

*Ἀβραὰμ γενόμενος ἐτῶν ρ΄ γεννᾷ τὸν Ἰσαάκ.*
*Ἰσαὰκ γενόμενος ἐτῶν ξ΄ γεννᾷ τὸν Ἰακώβ.*
*Ἰακὼβ γενόμενος ἐτῶν πξ΄ γεννᾷ τὸν Λευΐ.*
*Λευΐ γενόμενος ἐτῶν μέ΄ γεννᾷ τὸν Καάθ.*
*Καὰθ γενόμενος ἐτῶν ξ΄ γεννᾷ τὸν Ἀμραμ.*
*Ἀμραμ γενόμενος ἐτῶν ογ΄ γεννᾷ τὸν Μωσῆν.*
*Μωσῆς γενόμενος ἐτῶν π΄ ἐξάγει τὸν λαὸν ἐξ Αἰγύπτου.*

*Γίνονται ὁμοῦ τὰ πάντα ἀπὸ πρώτου ἔτους Ἀβραὰμ ἕως ἐπὶ τὴν ἐξ Αἰγύπτου πορείαν ἔτη φε΄*
*ἀπὸ δὲ τοῦ κατακλυσμοῦ . . . . . .*
*. . . . . ἔτη ,γχπθ΄*
*κατὰ τοὺς ο΄.*

Συνάγεται ὁμοῦ τὰ πάντα ἀπὸ μὲν τοῦ πρώτου ἔτους Ἀβραὰμ ἐπὶ τὴν ἐξ Αἰγύπτου πορείαν ἔτη φβ΄
ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἔτη ,αφπζ΄, ἀπὸ δὲ Ἀδὰμ κατὰ τοὺς ο΄ ἔτη ,γχπθ΄, κατὰ δὲ ἄλλους ,γωκθ΄.

1 προκεκυρωμένην *om. codd. praeter* E *add. edd.* ὑπὸ θεοῦ N΄ υ΄ καὶ λ΄ BOP γεγονὼς νόμος EJO γενόμενος (*om.* νόμος) R γεγονὼς *om.* N *praeter* E 3 ἐν ἐξόδῳ] 12, 40 Μωϋσῆς N΄ 6 καὶ κατὰ μέρος δὲ οὕτως ἔχει *om.* N *praeter* E 8 *post* Ἰσαὰκ E *addit* μετὰ τὰ ἔτη τῆς πρὸς αὐτὸν τοῦ θεοῦ ἐπαγγελίας κε΄· τὰ δὲ πάντα ἔξησεν ἔτη ροε΄. *Mg.* L: τὰ δὲ πάντα ἔξησεν ροε΄ 9 *post* Ἰακὼβ E *addit* ὁμοῦ ἔξησεν ἔτη ροε΄ 11 με΄] μθ΄ JR 11 με΄— 12 ἐτῶν *om.* BP Ἄβραμ LP Ἄβραμ N΄ Ἀρὰμ MS Ἀβραὰμ BE *item v.* 13 13 οε΄ R ο΄ OJ Μωϋσῆν N΄L *item v.* 14 Μωϋσῆς 14 πε΄ L 15ᵇ τὰ πάντα ὁμοῦ O οὖν τὰ πάντα R 16ᵇ τοῦ *om.* R 17ᵃ ἐπὶ *om.* L 19ᵇ ἔτη *om.* R 21ᵇ ,γχπθ΄] ,αχπθ΄ JRA ,γχπθ΄ pr. m. corr. ex ,γπθ΄ O 22ᵇ ,γωκβ΄ O

Digitized by Google

*Μετὰ δὲ ταῦτα Μωσῆς καθηγεῖται τοῦ λαοῦ ἐπὶ τῆς ἐρήμου ἔτη μ΄.*
*Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔτη κ΄.*
*Πρεσβύτεροι ἔτη κγ΄.*
*Ἀλλόφυλοι ἔτη η΄.*
*Γοθονιὴλ ἐκ φυλῆς Ἰούδα ἔτη μ΄.*
*Ἀλλόφυλοι ἔτη η΄, μεθ' οὓς*
*Ἀὼδ ἐκ φυλῆς Ἐφραὶμ ἔτη π΄.*
*Ἀλλόφυλοι ἔτη ιη΄.*
*Δεβόρρα καὶ Βαρὰκ ἔτη μ΄.*
*Ἀλλόφυλοι πάλιν ἔτη κ΄.*
*Μαδιναῖοι ἔτη ζ΄.*
*Γεδεὼν ἔτη μ΄.*
*Ἀβιμέλεχ ἔτη γ΄.*
*Θωλᾶ ἔτη κγ΄.*
*Ἰαὴρ ἔτη κβ΄.*
*Ἀμμανῖται ἔτη ιη΄.*
*Ἰεφθάε ἔτη ϛ΄.*
*Ἐσεβὼν ἔτη ζ΄.*
*Ἐλὼν ἔτη ι΄.*
*Λαβδὼν ἔτη η΄.*
*Ἀλλόφυλοι ἔτη μ΄.*
*Σαμψὼν ἔτη κ΄.*
*Ἠλὶ ὁ ἱερεὺς ἔτη κ΄. καὶ ἀναρχίας ἔτη λ΄.*
*Σαμουὴλ καὶ Σαοὺλ ἔτη μ΄.*

1 *Μωϋσῆς* N′ *praeter* J *καθηγεῖται τοῦ λαοῦ M.* N′ 5 *om.* N *praeter* E *ἀλλόφυλοι*] Philistiim A *hic et infra* *ἔτη ν΄* J 7 *ἔτη ιη΄* N′ 8 *Ἐφρὲμ* L 9 *ἔτη κ΄* N′ *ἔτη η΄* E 9 *om.* SM 10 *Δεβόρα* SR *Βαρὲκ* M 11 *om.* N′ *πάλιν om.* ELM 12 *Μαδηναῖοι* MR 14 *ἔτη ϛ΄* L 15 *Θωλᾶς* R *Θολᾶ* LS *Θωλὰ* M *ἔτη κ΄* BMPS 16 *Ἠαὴρ* LP *Ἀὴρ* BMS *Ἰβὴρ* O *Ἰασὴρ* E 17 *Ἀμανῖται* EL 20 *Αἰλὼν* E *Ἐλὼμ* L *Ἐγλὼν* JOA *Ἐσλὼν* R 21 *Λααδὼν* E *Λαμπαδὸν* R 22 *ἔτη κ΄* R 24 *καὶ ἀναρχίας ἔτη λ om.* N′A

Digitized by Google

*Δαυὶδ ἔτη μ΄.*

*Ὁμοῦ τὰ πάντα ἀπὸ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἕως Δαυὶδ ἔτη χλ΄.*

*Σολομὼν ἔτη μ΄.*

*Ῥοβοὰμ ἔτη ιζ΄.*

*Ἀβιᾶ ἔτη ϛ΄.*

*Ἀσᾶ ἔτη μ΄.*

*Ἰωσαφὰτ ἔτη κε΄.*

*Ἐπὶ αὐτοῦ προφητεύει Μιχαίας, Ἠλίας, Ἐλισσαῖος.*

*Ἰωρὰμ ἔτη η΄.*

*Ὀχοζίας ἔτος α΄.*

*Γοθολία, μήτηρ Ὀχοζίου, ἔτη ζ΄.*

*Ἰωὰς ἔτη μ΄.*

*Ἀμασίας ἔτη κθ΄.*

*Ἀζαρίας ὁ καὶ Ὀχοζίας ἔτη νβ΄.*

*Ἐπὶ αὐτῶν προφητεύουσιν Ὡσηὲ, Ἀμὼς, Ἡσαΐας, Ἰωνάς, Ἰωήλ.*

*Ἰωάθαμ ἔτη ις΄.*

*Ἄχαζ ἔτη ις΄.*

*Ἐζεκίας ἔτη κθ΄.*

*Μανασσῆς ἔτη νε΄.*

*Ἐπὶ αὐτοῦ ἐκτίσθη τὸ Βυζάντιον.*

1 *Δ. ἐβασίλευσεν ἔτη μ΄* N′A 2 *τῆς et τῶν om.* R 3 *Δᾶδ τοῦ βασιλέως* R 4 *Σαλομὼν* EL 6 *om.* N′A *In spatio vacuo relicto cod.* O *sec. m. add.: Ἀβιὰ ἔτη ις΄* 9 *ἐπὶ τούτου προεφήτευσε M. Ἠλ. Ἐλ.* E *ἐπὶ τούτων (τοῦτον* O *τούτου* R) *προεφήτευον M. Ἠλ. καὶ Ἐλισσαιέ (Ἐλισσαῖος* O; *in mg. γρ. ε΄.* Helisaeus A) N′A 10 *ἔτη κη΄* P *ἔτη κ΄* S. *Post v.* 11 N *praeter* E *add. Ἀχαὰβ ἔτη ιζ΄* 14 *Ἀμασίας* N *Ἀμεσίας* N′A 15 *Ἀζαρίας καὶ Ὀχοζίας* N *Ἀζαρίας καὶ Ὁσίας* N′ Azarias qui et Ochozias A *cod. Cas.* Azarias qui echozias (= et Hozias) A *cod. Pal.* *ἔτη ιβ* L 16 *ἐπὶ αὐτοῦ* L *ἐπὶ τούτων* E N′ *προεφήτευσεν (-σαν* R) N′ *καὶ Ἀμὼς* BLMP *καὶ Ἰωνᾶς* L 17 *καὶ Ἰωήλ* S 18 *Ἰοάθαν* JA *ἔτη ιζ΄* N′ *sed* XVI *etiam* A 19 *ἔτη ιζ΄* S 20 *ἔτη ιθ΄* N 22 *τὸ Βυζάντιον ἐπὶ αὐτοῦ ἐκτίσθη* BMP *ἐπὶ τούτου ἐκτ. τὸ Β.* E *ἐπὶ τούτου τὸ Β. ἐκτίσθη* N′

Digitized by Google

*Ἀμὼς ἔτη ιβ΄.*
*Ἰωσίας ἔτη λα΄.* [καὶ ἀναρχίας ἔτη λ΄ κατὰ τοὺς ο΄, κατὰ δὲ τὸ Ἑβραϊκὸν ἔτη ν΄].
*Ἐπὶ τούτου προφητεύουσιν Ἱερεμίας καὶ Σοφονίας καὶ Βαρούχ.*
*Ἰάχαζ μῆνας γ΄.*
*Ἐλιακεὶμ ἔτη ιβ΄.*
*Ἰεχονίας μῆνας γ΄.*
*Σεδεκίας ἔτη ια΄.*
*Τοῦτον ἐκτυφλώσας Ναβουχοδονόσωρ* [ὁ βασιλεὺς] *αἰχμάλωτον ἦρε καὶ ὁ ναὸς πυρπολεῖται μετὰ μῆνας ε΄ ὑπὸ Ναβουζαρδὰν διαρκέσας ἀφ' οὗ ἐκτίσθη ἔτη υλβ΄. Ὁμοῦ τὰ πάντα ἀπὸ ἀρχῆς βασιλείας Σολόμωνος ἕως ἁλώσεως Ἱερουσαλὴμ ἔτη υμη΄. Μετὰ ταῦτα αἰχμαλωσίας Ἰουδαίων τῆς εἰς Βαβυλῶνα καὶ ἐρημίας τοῦ τόπου ἔτη ο΄. ἃ συμπληροῦται κατὰ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Περσῶν βασιλέως ὃς τόν τε λαὸν ἀνῆκε τῆς αἰχμαλωσίας καὶ τὸν ἐν Ἱεροσολύμοις ἀνενέωσε ναόν.*

*Πρῶτος μὲν οὖν ἐβασίλευσε Περσῶν Κῦρος ἔτη λ΄. μεθ' ὃν* Πρῶτος Περσῶν ἐβασίλευσε Κῦρος ἔτη λ΄.

1 ἔτη (ἔτος J) ιβ΄· *Ἀμὼς* N΄ 2 ἔτος BP 4 *ἐπὶ τούτου προεφήτευσεν* E *ἐπὶ τούτων προεφήτευον* N΄A *καὶ ante Σοφον. om.* LSN΄ 6 *Ἰωάχαζ* E *Ἰάχας* M 10 *Ναβουχοδονόσορ* BJMO *ὁ βασιλεὺς om.* N *praeter* E 12 *Ναβουζαρδᾶ* N΄ *et* L 13 *Σολομῶντος* N΄ *et* M *Σαλομῶντος* E *ἕως αἰχμαλωσίας ἔτη υμη΄. μετὰ δὲ τὴν αἰχμαλωσίαν τῶν Ἰ. τὴν εἰς Β. καὶ ἐρημίαν τοῦ* (*ἐρημίας* OR *τοῦ om.* R) *τ. ἔτη ο΄* N΄A 14 *μετὰ τὴν αἰχμαλωσίαν* L 16 *ἔτη οα΄. συμπλ.* BLPM *ἔτη οθ΄. συμπλ.* S *ἔτη οα΄, ἃ συμπλ.* E *συμπληροῦνται* EMS *συμπλ. δὲ* B 17 *τοῦ*] *τῶν* BP *τοῦ τῶν* MS *τε*] *τότε* LMS 19 *ναὸν ἀνενέωσε* ES *ναὸν ἀνήγειρε* N΄ templum renovavit A 20ᵃ *οὖν Περσῶν βασιλεὺς* L 20ᵇ *βασιλεὺς* R 21ᵇ *Κύρος codd. ἔτη λ om.* O

Digitized by Google

*Καμβύσης ἔτη ϛ΄.*
*Δαρεῖος ἔτη λϛ΄.*

Καμβύσης ἔτη β΄.
Δαρεῖος ὁ υἱὸς Ὑστάσπου ἔτη λϛ΄.

*Τούτου οὖν, ὡς εἴρηται, ἐν ἔτει δευτέρῳ ὁ ναὸς ἀνενεώθη. μεθ' ὃν*

Τούτου ἔτει δευτέρῳ, ὡς ἤδη εἴρηται, ὁ ἐν Ἱεροσολύμοις ἀνενεώθη ναός. Γίνονται οὖν τὰ λοιπὰ Δαρείου ἔτη λδ΄.

*Ξέρξης ὁ Δαρείου ἔτη κή΄.*
*Ἀρταβάνης μῆνας ζ΄.*
*Ἀρταξέρξης ὁ Μακρόχειρ ἔτη μα΄.*
*Τὰ κατὰ τὴν Ἐσθὴρ καὶ τὸν Μαρδοχαῖον ἐπὶ τούτου φασίν.*
*Ξέρξης ἄλλος μῆνας β΄.*
*Σογδοάνης μῆνας ζ΄.*
*Δαρεῖος ἄλλος ἔτη ιθ΄.*
*Ἀρταξέρξης ὁ Μνήμων ἔτη μ΄.*
*Ἀρταξέρξης ὁ καὶ Ὦχος ἔτη κϛ΄.*
*Ἀρσὴς Ὤχου ἔτη δ΄.*
*Δαρεῖος Ἀρσάμου ἔτη ϛ΄.*
*Τοῦτον ἀνελὼν Ἀλέξανδρος ὁ Μακεδὼν καὶ καθελὼν τὴν τῶν Περσῶν ἀρχὴν ἐβασίλευσεν ἔτη ϛ΄, πρὸ τοῦ καθελεῖν τὸν Δαρεῖον βασιλεύσας, ὥς τινές φασιν,*

1ª ἡαβύσσης L ἔτη η΄ E 1ᵇ *Καμβὺς* J 2ª *Ὑστάσπου add.* E 2ᵇ *ὁ om.* O *Ὑστάπου* JO Histati A 4ᵇ *ἔτος β΄* OR *ἔτος δεύτερον* J *ἤδη om.* O 7ᵇ *τοῦ Δαρείου* O *Δαριτοῦ Περσῶν βασιλέως* R 8 *Δαρεῖος* N *praeter* E *ἔτη νη΄* O 9 *ἔτος α΄ μῆνας ζ΄* R 10 *ἔτος* BPS 11 *Αἰσθὴρ* EMPRS *ἐπὶ τούτοις* S *ἐπὶ τούτοις εἰσίν* L *v.* 15 *post v.* 16 *collocat* O *om.* JR *habet suo loco* A 17 *Ὄχος* LP *Εὔχος* R *Ὀχὸς* BS *Οχὸς* M *ὁ Ζώχος* E *ἔτη κβ΄* O 18 *Ἀρσις Ὄχου* P *Ἀρσισοχοῦ* M *Ἄρσιος Ὀχοῦ* B *Ἀρσισοχος* L *Ἀρσησόχου* E *Ἀρσης Ὤχου* J *Ἀρσὶς Ὤχου* R *Ἀρσῆς ὦχα* O 19 *Ἀρσαμοῦ* M *Ἀράμου* S *Ἀριέμου* E 20 *ἀνεῖλε* L *ὁ Μακεδόνων βασιλεὺς* R 22 *τινὲς om.* N

ἔτη ιβ΄. ἐτελεύτησε δὲ ἐν Βαβυλῶνι ἐτῶν λε΄, [ὡς δὲ ἄλλοι εἶπον λϛ΄. ἐβασίλευσεν οὖν ἔτη ιζ΄].

Ὑπέταξε δὲ βαρβάρων ἔθνη κβ΄ καὶ φυλὰς Ἑλλήνων ιγ΄. [καὶ ἐτελεύτησεν ἐν Περσίδι βασιλεύων].

Ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως τελευτῆς Ἀλεξάνδρου ἔτη ,ερξϛ΄.

Μετὰ δὲ τὴν τούτου τελευτὴν Αἰγύπτου καὶ Ἀλεξανδρείας ἐβασίλευσαν πρῶτος

Πτολεμαῖος ὁ Λάγου ἔτη μ΄. δεύτερος.

Πτολεμαῖος ὁ Φιλάδελφος ἔτη λη΄.

1 *Νάρκις* J 2 *Δίος* BMPR 3 *Γερμανίων* M 5 *ὁ δεύτερος* JRA *ὁ δεύτερον* BMP *τὸ δεύτερον*? *cf. Syncell.* p. 680, 19 6 *incipit cod.* C 7 Mazabanes A *cf. Syncell.* p. 684, 2; 705, 9; 714, 20; 722, 8 *Μαζαμάμης* BMP *Μαζαμάνης* C *Μαζαμάνις* R 8 *Τμεναῖος* P *Ἡμέναιος* J *Οἰμένεος* CR *Οἰμένος* M 9 *Ζαβδὰς* BMR *Ζάδας* C 10 *Ἕρμων* BP *Ἑρμῶν* CR *Ἑρμὼν* M 13 *χριστιανίσαι* BCJP 14 *πρώτῃ add. ex* A *om. codd.* 16 *ὁ om.* M *ἐξωθεὶς* CJM *ἐξεωθεὶς* R *ὑπὸ τῶν Ἀρ.* N 18 *ἐπὶ*] a A 19 *ὁμοῦ* N *εἰσὶ* R *ἐστὶ* C *om.* J 21 Paryllius A *ἔτη κ΄ καὶ (καὶ om.* C) *μῆνας ϛ΄* CR 23 *Καλχηδόνι* BP

Digitized by Google

μζ΄ Θεοδόσιος ὁ ἐκβληθεὶς ὑπὸ Μαρκιανοῦ· καὶ πάλιν Ἰουβενάλιος.
μη΄ Ἀναστάσιος ἔτη ιη΄.
μθ΄ Μαρτύριος ἔτη η΄.
ν΄ Σαλούστιος, ἐφ' οὗ ἀπέσχισεν ὁ Ῥώμης ἐπίσκοπος διὰ τὸ ἑνωτικὸν Ζήνωνος ἔτη η΄.
να΄ Ἠλίας ὁ ἐκβληθεὶς ὑπὸ Ἀναστασίου βασιλέως ἔτη κγ΄.
νβ΄ Ἰωάννης ἔτη ια΄.
νγ΄ Πέτρος ἐπὶ Ἰουστινιανοῦ βασιλέως ἔτη κ΄.
νδ΄ Μακάριος ὁ ἐκβληθεὶς ἔτη β΄.
νε΄ Εὐστόχιος ἔτος α΄.
νϛ΄ Μακάριος πάλιν ἔτη δ΄.
νζ΄ Ἰωάννης ἔτη κ[β΄].
νη΄ Ἀμὼς ἔτη η΄.
νθ΄ Ἰσάκιος ἔτη η΄.
ξ΄ Ζαχαρίας πρὸ τῆς αἰχμαλωσίας ἔτη κβ΄.
ξα΄ Μώδεστος ἔτος α΄.
ξβ΄ Σωφρόνιος.

Καὶ ὅσοι ἐν Ἀλεξανδρείᾳ ἐπίσκοποι ἀπὸ Χριστοῦ καὶ τῶν ἀποστόλων.

α΄ Μάρκος ὁ εὐαγγελιστὴς ἔτη β΄.
β΄ Ἀννιανὸς ἔτη κβ΄.
γ΄ Αἰβίλιος ἔτη ιβ΄.
δ΄ Κέρδων ἔτη ι΄.

2 Ἰουβ. ἔτη . . . JM 5 ἀφ' MR 7 Ἠλίας J 11 Εὐτύχιος M 13 ἔτη κβ΄ N΄ ἔτη κ΄ MP *Theophanes* ἔτη δ΄ καὶ ις΄ B 14 Ἀμῶς BCR ἔτη κβ΄ M 15 Ἡσάκιος R Ἰσαάκιος M 17 *Μόδεστος* C 18 ἔτη . . . *add.* CJ
19 Ὅσοι ἐπεσκο π ἀπὸ Χρ. καὶ τῶν ἀπ. ἐν Ἀλεξ. R ἐπίσκοποι N ἐπίσκο π C ἐπισκόπησαν JO 20 τῶν ἁγίων ἀποστόλων JM 21 ἔτη ε΄ C β΄ *om.* O 22 Ἀνιανὸς R Ἀνανίας O 23 Αἰβίβλης M Αἴβιλλιος R Αἰμίλιος? *ex Syncell.* p. 651, 20 24 Κερδὼν JMO Κερδῶν R

Digitized by Google

ε΄ *Πρῖμος ἔτη ιβ΄.*
ς΄ *Ἰουστῖνος ἔτη ι΄.*
ζ΄ *Εὐμενὴς ἔτη ι΄.*
η΄ *Μαρκιανὸς ἔτη ιγ΄.*
θ΄ *Κελαδίων ἔτη ι΄.*
ι΄ *Ἀγριππῖνος ἔτη ιδ΄.*
ια΄ *Ἰουλιανὸς ἔτη ιε΄.*
ιβ΄ *Δημήτριος ἔτη ι΄.*
ιγ΄ *Ἡρακλᾶς ἔτη μγ΄.*
ιδ΄ *Διονύσιος ὁ ἐπὶ Βαλλεριανοῦ βασιλέως ἐξορισθεὶς ἔτη ιζ΄.*
ιε΄ *Μαξιμιανὸς ἔτη η΄.*
ις΄ *Θεωνᾶς ἔτη ιθ΄.*
ιζ΄ *Πέτρος ὁ μάρτυς ἔτη ια΄.*

*Μέχρι τούτων οἱ ἐκ τῶν Ἑλλήνων βασιλεῖς καὶ διῶκται.*
*Καὶ ὅσοι μετὰ τὸν μέγαν Κονσταντῖνον ἐπεσκόπησαν [εἰσὶν οὗτοι].*

ιη΄ *Ἀχιλλᾶς ἔτος α΄.*
ιθ΄ *Ἀλέξανδρος ὁ καὶ ἐν τῇ πρώτῃ συνόδῳ ἔτη κγ΄.*
κ΄ *Ἀθανάσιος ὁ πολλάκις ἐξορισθεὶς ὑπὸ Ἀρειανῶν. ἀνθ' οὗ γέγονε Γρηγόριος Ἀρειανός.*
κα΄ *Ἀθανάσιος πάλιν τὸ δεύτερον· τούτου ἐξορισθέντος ὑπὸ Κωνσταντίου πάλιν, Γεώργιος Καππαδόκης Ἀρειανός.*

1 *Πρίμος* CJOR *Πρόβος* M *vv.* 3—5 *om.* BP 5 *ἔτη γ΄* M 10 *βασιλέως om.* O 11 *ἔτη ν΄* P 12 *ἔτη κθ΄* O 13 *ὁ om.* MR *ἔτη ιδ΄* O 14 *ἐκ om.* R 15 *μετὰ τῶν μεγάλων Κ.* C *ἐπεσκόπησαν* BP *ἐπισκόπησαν* JM *ἐπισκοπ̄* C *ἐπεσκόπευσαν* R *ἐπισκόπευσαν* O 16 *εἰσὶν οὗτοι* CJR *οὗτοι* MO *om.* BPA 17 *Ἀχιλλὰς* CJ *Ἀχιλὰς* R *Ἀλλὰς* M 18 *καὶ om.* M *κγ΄ om.* O 19 *Ἀθανάσιος ὁ μέγας* R *ἀνθ' ὧν* R 20 *γέγονεν ἔτη . . . κα΄ Γρηγ.* M *Γρηγ. Ἀρ. ἔτη . . .* JR *Ἀρ. ἔτι Ἀθαν.* O 22 *Κωνσταντίνου* JMOR *Κωνσταν̄τ* C Constantio A *πάλιν om.* R *Ἀρειανὸς om.* J *Ἀρειανὸς ἔτη . . .* R

Digitized by Google

κβ΄ Ἀθανάσιος τὸ τρίτον ὁμοίως καὶ τὸ τέταρτον ἐπεσκόπησεν· ὁμοῦ τὰ πάντα ἔτη μ̅ξ̅΄.
κγ΄ Πέτρος ὁ ἐξορισθεὶς ὑπὸ Οὐάλεντος ἔτος α΄.
κδ΄ Λούκιος Ἀρειανὸς ἔτη ε΄.
Πέτρος τὸ δεύτερον ἔτος α΄.
κε΄ Τιμόθεος ὁ ἐν τῇ β΄ συνόδῳ ἔτη η΄.
κ̅ς̅΄ Θεόφιλος ἔτη κη΄.
κζ΄ Κύριλλος ὁ ἐν τῇ Ἐφέσου τὸ πρότερον συνόδῳ κατὰ Νεστορίου τοῦ ἀσεβοῦς, ἔτη λβ΄.
κη΄ Διόσκορος ὁ ἐν τῇ ληστρικῇ συνόδῳ τὸ δεύτερον Ἐφέσου ἔτη ε΄, καὶ καθηρέθη ὑπὸ τῆς τετάρτης ἐν Χαλκηδόνι συνόδου.
κθ΄ Προτέριος ὀρθόδοξος, ὁ ἐν τῇ θείᾳ κολυμβήθρᾳ σφαγείς, ἔτη ϛ΄.
λ΄ Τιμόθεος ὁ Ἐλοῦρος ἔτη β΄.
λα΄ Τιμόθεος ὁ Λευκὸς ἔτη ιε΄.
. . . . . .
. . . . . .
λβ΄ Πέτρος ὁ Μογγὸς ἔτος α΄.
λγ΄ Ἰωάννης ὁ ἐκβληθεὶς ἔτη γ΄.
Πέτρος τὸ δεύτερον ἔτη ϛ΄.
λδ΄ Ἀθανάσιος αἱρετικὸς ἔτη ζ΄.

1 *πάλιν τὸ τρίτον* M *τέταρτον καὶ τὸ πέμπτον* R *ἐπισκόπησεν* OM *ἐπίσκο*$^{\pi}$ C *ἐπεσκόπευσεν* R 3 *ὁ om.* OM 4 *Λουκιανὸς* C *Ἰουβιανὸς ὁ* Q 8 *Ἐφέσου*] *Ἐφέσῳ codd. cf. v.* 10 *συνο*$^{\delta}$ *τὸ πρότερον* BP *τὸ πρότερον σύνοδον* JM *τὸ πρότερον συνο*$^{\delta}$ C *πρώτῃ συνόδῳ* R 9 *ἀσεβοῦς στήσας ἔτη* M 10 *Διόσκορος ὁ ἐν τῇ ληστρικῇ συνόδῳ ἔτη κθ΄* (*ἔτη κθ΄ om.* M) *rell. om.* N 11 *ἔτη ε΄ αἱρετικὸς* C 15 *ὁ om.* BMOP *Ἐλοῦρος* J *Αἰλοῦρος* CO *Αἴλουρος* MR *Αἴλουρος* (*om. acc.*) BP 16 Timotheus alius Leucus annos V. A *ἔτη ιε΄ etiam Theophanes vv.* 17. 18 A *addit* XXXV Timotheus iterum Helurus annos II XXXVI Timotheus Leucus annos IIII *quos eosdem Theophanes enumerat*

Digitized by Google

λέ Ἰωάννης ἔτη θ΄.
λϛ΄ Ἰωάννης ἄλλος ἔτη ια΄.
λζ΄ Διόσκορος ἔτη γ΄.
λη΄ Τιμόθεος ὁ ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως ἔτη ιζ΄.
λθ΄ Γαϊανὸς ἔτος α΄.
μ΄ Θεοδόσιος ἔτη β΄.
μα΄ Παῦλος ἔτη β΄.
μβ΄ Ζωΐλος ἔτη ζ΄.
μγ΄ Ἀπολινάριος ἔτη ιθ΄.
μδ΄ Ἰωάννης ἔτη ια΄.
με΄ Εὐλόγιος ἔτη κζ΄.
μϛ΄ Θεόδωρος ὁ Σκρίβων ἔτη β΄.
μζ΄ Ἰωάννης ὁ Κύπριος ὁ καὶ Ἐλεήμων ἔτη ι΄.
μη΄ Γεώργιος ἔτη ιδ΄.
μθ΄ Κῦρος ἔτη ι΄.
ν΄ Πέτρος ἔτη ι΄.

Καὶ ὅσοι ἐν Ἀντιοχείᾳ ἐπεσκόπησαν ἀπὸ Χριστοῦ καὶ τῶν ἀποστόλων.

α΄ Πέτρος ὁ ἀπόστολος ἔτη ια΄.
β΄ Εὐόδιος ἔτη κ[γ΄].
γ΄ Ἰγνάτιος ὁ θεοφόρος, ὁ καὶ ἐπὶ Τραϊανοῦ μαρτυρήσας, ἔτη δ΄.
δ΄ Ἥρων ἔτη κ΄.
ε΄ Κορνήλιος ἔτη ιγ΄.
ϛ΄ Ἔρως ἔτη κϛ΄.

4 ὁ *om.* M Ἰουστιν΄ P 5 Γάϊος N Γαϊανὸς N' Gahinus A Γαϊνᾶς *Theophanes* 6 Μεθόδιος O 8 Ζώϊλος CJOM Ζώηλος R 9 annos VIIII A ιθ΄ *etiam Theophanes* 11 ἔτη ιζ΄ R 13 καὶ *om.* R 14 ἔτη ια΄ R 15 *versum om.* R Κύρος PM 17 ἐπισκόπησαν JMO ἐπίσκο$^{\pi}$ C ἐπεσκόπευσαν R 18 τῶν ἁγίων ἀποστόλων JM 19 ὁ *om.* M 20 Εὐώδιος BPN' ἔτη κ BP ἔτη κγ΄ MN'A ἔτη κθ΄ *Syncell.* 21 καὶ *om.* MR μαρτυρήσας ἐν Ῥώμῃ R 23 Ἥρων JMO 25 Ἔρω ἔτη κβ΄ O ἔτη ϛ΄ J



Digitized by Google

ζ΄ Θεόφιλος ἔτη ιγ΄.
η΄ Μαξιμιανὸς ἔτη ιγ΄.
θ΄ Σεραπίων ἔτη κε΄.
ι΄ Ἀσκληπιάδης ἔτη θ΄.
ια΄ Φιλητὸς ἔτη η΄.
ιβ΄ Ζεβῖνος ἔτη ϛ΄.
ιγ΄ Βαβυλᾶς ὁ ἐπὶ Δεκίου μαρτυρήσας ἔτη ιγ΄.
ιδ΄ Φάβιος ἔτη θ΄.
ιε΄ Δημητριανὸς ἔτη δ΄.
ιϛ΄ Παῦλος ὁ Σαμοσατεὺς ἔτη η΄.
ιζ΄ Δόμνος ἔτη β΄.
ιη΄ Τίμαιος ἔτη ι΄.
ιθ΄ Κύριλλος ἔτη ιε΄.
κ΄ Τύραννος ἔτη ιγ΄.

Μέχρι τούτων οἱ ἐκ τῶν Ἑλλήνων βασιλεῖς καὶ διῶκται. Καὶ ὅσοι μετὰ τὸ χριστιανῆσαι τοὺς βασιλεῖς πατριάρχαι, εἰσὶν οὗτοι·

κα΄ Βιτάλιος ἔτη ϛ΄.
κβ΄ Φιλογόνιος ἔτη ε΄.
κγ΄ Παῦλος ἔτη ε΄.
κδ΄ Εὐστάθιος ὁ ἐν τῇ πρώτῃ συνόδῳ Νικαίας κορυφαῖος, ὁ καὶ ἐκβληθεὶς ὑπὸ Ἀρειανῶν, ἔτη ιη΄.

Μεθ' ὃν Ἀρειανοὶ ϛ΄.

κε΄ Εὐλάλιος ἔτη γ΄.
κϛ΄ Εὐφρόνιος ἔτη η΄.

3 ἔτη ιε΄ M 5 Φιλιτὸς CR 6 Ζεβῆνος BR 7 Βαβύλας O Βαβυλὰς JMR 8 Φλάβιος M Φλάνιος R Φλαβιανὸς C 9 ἔτη ιθ΄ O 10 Σαμωσατεὺς BO Σαμωσαυταῖς C Σαμωσάτων R 16 χριστιανίσαι BCOP 17 οὕτως BCP 19 Φιλογένιος C Φιλογένις R 21 ὁ om. O πρώτῃ om. M Εὐστάθιος ὁ ἐν τῇ συνόδῳ τῇ πρώτῃ καὶ μάρτυς καὶ κορυφαῖος τῶν ἐν Νικαίᾳ πατέρων ὁ ἐκβλ. ὑπὸ Ἀρ. R συνόδῳ] hic finis cod. O καὶ om. B 23 μεθ' ὧν CJ Ἀρειανοὶ ϛ΄ CR Ἀρειανοὶ (om. ϛ΄) J Ἀρειανοὶ καὶ N Arriani annos VI A

Digitized by Google

κζ΄ Φακέλλιος, ἐφ' οὗ τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας Ἀντιοχείας, ἔτη ιβ΄.
κη΄ Στέφανος ἔτη γ΄.
κθ΄ Λεόντιος ἔτη η΄.
λ΄ Εὐδόξιος ἔτη β΄.
λα΄ Ἀνάνιος ἔτη δ΄.
λβ΄ Μελέτιος ὁ ὁμολογητής, ὁ καὶ ὑπὸ Οὐάλεντος ἐκβληθείς, ἔτη κε΄.
λγ΄ Εὐζώϊος Ἀρειανὸς ἔτη . . .
λδ΄ Μελέτιος πάλιν, ὅτε καὶ συνῆλθεν ἐν τῇ [δευτέρᾳ] συνόδῳ Κωνσταντινουπόλεως.
λε΄ Φλαβιανὸς ἔτη κβ΄.
λς΄ Πορφύριος ἔτη . . . .
λζ΄ Ἀλέξανδρος ἔτη . . . .
λη΄ Θεόδοτος ἔτη δ΄.
λθ΄ Ἰωάννης, ὁ ἐν τῇ τρίτῃ συνόδῳ Ἐφέσου, ἔτη ιή΄.
μ΄ Δόμνος, ὁ ἐν τῇ ληστρικῇ τὸ δεύτερον Ἐφέσου, ἔτη η΄.
μα΄ Μάξιμος ὁ ἐν τῇ τετάρτῃ συνόδῳ ἐν Χαλκηδόνι, ὃς καὶ ἐξεβλήθη διὰ πταῖσμα, ἔτη δ΄.
μβ΄ Βασίλειος ἔτη β΄.
μγ΄ Ἀκάκιος, ἐφ' οὗ ἡ πόλις πέπτωκεν, ἔτος α΄.
μδ΄ Μαρτύριος ἔτη ιγ΄.
με΄ Ἰουλιανὸς ἔτη ιε΄.
μς΄ Πέτρος ὁ Κναφεύς, ὁ καὶ ὑπὸ Ζήνωνος ἐκβληθείς, ἔτη γ΄.
μζ΄ Ἰωάννης ὁ μετὰ τρίμηνον ἐκβληθείς.

1 Phlacillus A 5 *Ἀνάνιος* BJMP *Ἀνιανὸς* CR Anianus A *cod. Cass.* Ananius A *cod. Pal.* *Ἄνανος Theophanis cod. Vat.* 154 *Ἀνιανὸς Theoph. codd. rell.* 7 ὁ *ante* ὁμολ. *om.* M καὶ *om.* M 9 *Εὐξώϊος* C ἔτη ε΄ CR 10 *συνῆλθον* R *δευτέρᾳ* N′ *om.* N 12 *Φλαυιανὸς* R ἔτη κ΄ N κβ΄ *etiam Theophanes* 13 ἔτη λ΄ R 14 ἔτη δ΄ R 16 *τρίτῃ om.* M ἔτη η΄ R 17 ὁ *om.* R 18 ὁ *ἐν τῇ τετάρτῃ*] ἔτη δ΄ M *Καλχηδόνι* BP 19 καὶ *om.* R ἔτη δ΄ *om.* M 23 annos v A ἔτη ς΄ *Theophanes* 25 *τρι*$^{\tau}$*μὴν* C



Digitized by Google

μη΄ Στέφανος ἔτη γ΄.
μθ΄ Στέφανος ἄλλος ἔτος α΄.
ν΄ Καλανδίων ἔτη δ΄.
να΄ Πέτρος πάλιν ὁ Κναφεὺς [ἔτη γ΄].
νβ΄ Παλλάδιος ἔτη ι΄.
νγ΄ Φλαβιανός, ὁ ἐκβληθεὶς ὑπὸ Ἀναστασίου βασιλέως, . . . .
. . . . . ἔτη ζ΄.
νδ΄ Παῦλος ἐπὶ τοῦ αὐτοῦ ἔτη γ΄.
νε΄ Εὐφράσιος, ὁ ἐν τῇ πτώσει τῆς πόλεως χωσθείς, ἔτη ε΄.
νϛ΄ Ἐφραΐμιος, ὁ ἐπὶ Ἰουστινιανοῦ, ἔτη ιη΄.
νζ΄ Δόμνος ἔτη ιδ΄.
νη΄ Ἀναστάσιος ἔτη ια΄.
νθ΄ Γρηγόριος ἔτη κδ΄.
ξ΄ Ἀναστάσιος τὸ δεύτερον ἔτη ϛ΄.
ξα΄ Ἀναστάσιος ἕτερος ἔτη θ΄.

Καὶ ὅσαι εἰσὶ θεῖαι γραφαὶ ἐκκλησιαζόμεναι καὶ κεκανονισμέναι καὶ ἡ τούτων στιχομετρία οὕτως.

α΄ Γένεσις στίχων ,δτ΄.
β΄ Ἔξοδος στίχων ,βω΄.
γ΄ Λευϊτικὸν στίχων ,βψ΄.
δ΄ Ἀριθμοὶ στίχων ,γφλ΄.
ε΄ Δευτερονόμιον στίχων ,γρ΄.
ϛ΄ Ἰησοῦς στίχων ,βρ΄.
ζ΄ Κριταὶ καὶ Ῥοὺθ στίχων ,βυν΄.
η΄ Βασιλειῶν α΄ καὶ β΄ στίχων ,ασμ΄.

4 ἔτη γ΄ *om.* JN *habent* CRA *vv.* 6. 7 *lacunam indicat* A: LIII Flavianus ⟨qui⟩ eiectus est ab Anastasio imperatore annos XIII. LIIII Severus qui eiectus est sub Iustiniano imperatore annos VII. *consentiente Theophane* 6 Φλαυιανὸς R βασιλέως *om.* R 8 ὁ ἐπὶ C 10 Εὐφραΐμιος M Ἐφρέμιος BP 13 ἔτη ιδ΄ M

18 cτι CR ubique cτι J *semel tantum* στίχων ατ΄ *codd.* IIIIccc A 21 IIIᴅ A 24 βν΄ J Πcccᴄʟ A 25 ,ασμ΄ *codd.* Πccxxxx A

θ′ Βασιλειῶν γ′ καὶ δ′ στίχων ͵βσγ′.
ι′ Παραλειπόμενα α′ καὶ β′ στίχων ͵εφ′.
ια′ Ἔσδρας α′ καὶ β′ στίχων ͵εφ′.
ιβ′ Βίβλος ψαλμῶν στίχων ͵ερ′.
ιγ′ Παροιμίαι Σολομῶντος στίχων ͵αψ′.
ιδ′ Ἐκκλησιαστὴς στίχων ζφ′.
ιε′ Ἆισμα ᾀσμάτων στίχων σπ′.
ις′ Ἰὼβ στίχων ͵αω′.
ιζ′ Ἡσαίας προφήτης στίχων ͵γω′.
ιη′ Ἱερεμίας προφήτης στίχων ͵δ.
ιθ′ Βαροὺχ στίχων ψ′.
κ′ Ἰεζεκιὴλ στίχων ͵δ.
κα′ Δανιὴλ στίχων ͵β.
κβ′ Οἱ δώδεκα προφῆται στίχων ͵γ.

Ὁμοῦ τῆς παλαιᾶς διαθήκης βίβλοι κβ′.

Τῆς νέας διαθήκης.

α′ Εὐαγγέλιον κατὰ Ματθαῖον στίχων ͵βφ′.
β′ Εὐαγγέλιον κατὰ Μάρκον στίχων ͵β.
γ′ Εὐαγγέλιον κατὰ Λουκᾶν στίχων ͵βχ′.
δ′ Εὐαγγέλιον κατὰ Ἰωάννην στίχων ͵βτ′.
ε′ Πράξεις τῶν ἀποστόλων στίχων ͵βω′.
ς′ Παύλου ἐπιστολαὶ ιδ′ στίχων ͵ετ′.
ζ′ Καθολικαὶ ἐπιστολαὶ Ἰακώβου α′ Πέτρου β′ Ἰωάννου γ′ Ἰούδα α′, ὁμοῦ ζ′ . . . .

Ὁμοῦ τῆς νέας διαθήκης βίβλοι κς′.

1 ͵βσγ′ *codd.* IIcccxxx A 3 Librum Iob post Esdram inserit, postea omittit J 5 ͵αψ′ *codd.* MDCCVIII A 6 ζφ′ *codd.* DCCL A 9 ὁ προφ. R 10 Ἱερεμίου προφη$^{\tau}$ J Ἱερεμ. ὁ προφ. R 12 Ἐζεκιὴλ C 14 ͵γ *codd.* III DCCC A 15 ὅμος C βιβλία CR 16 εἰσὶ καὶ τῆς νέας διαθήκης ταῦτα R 20 ͵βγ′ C 21 τῶν *om.* CR 22 Pauli apostoli epist. A 23 καθολικαὶ ἐπιστο$^{\lambda}$ Ἰακώβου α′ Πέτρου β′ Ἰωάννου γ′ Ἰούδα α′ ὁμοῦ ζ′ CA Καθολικαὶ ζ′ Ἰακώβου α′ — Ἰούδα α′ JR *in fine add.* A: versus vero MCCC 25 διαθήκης *om.* R βιβλία R *v.* 25 *sic* A: Simul

Digitized by Google

Καὶ ὅσαι ἀντιλέγονται τῆς παλαιᾶς αὗταί εἰσιν.

α΄ Μακκαβαϊκὰ γ΄ στίχων ,ζτ΄.
β΄ Σοφία Σολομῶντος στίχων ,αρ΄.
γ΄ Σοφία Ἰησοῦ τοῦ Σιρὰχ στίχων ,βω΄.
δ΄ Ψαλμοὶ καὶ ᾠδαὶ Σολομῶντος στίχων ,βρ΄.
ε΄ Ἐσθὴρ στίχων τν΄.
ϛ΄ Ἰουδὶθ στίχων ,αψ΄.
ζ΄ Σωσάννα στίχων φ΄.
η΄ Τωβὴτ καὶ Τωβίας στίχων ψ΄.

Καὶ ὅσαι τῆς νέας ἀντιλέγονται.

α΄ Ἀποκάλυψις Ἰωάννου στίχων ,αυ΄.
β΄ Ἀποκάλυψις Πέτρου στίχων τ΄.
γ΄ Βαρνάβα ἐπιστολὴ στίχων ,ατξ΄.
δ΄ Εὐαγγέλιον κατὰ Ἑβραίους στίχων ,βc΄.

Καὶ ὅσα ἀπόκρυφα τῆς παλαιᾶς.

α΄ Ἐνὼχ στίχων ,δω΄.
β΄ Πατριάρχαι στίχων ,ερ΄.
γ΄ Προσευχὴ Ἰωσὴφ στίχων ,αρ΄.
δ΄ Διαθήκη Μωϋσέως στίχων ,αρ΄.
ε΄ Ἀνάληψις Μωϋσέως στίχων ,αυ΄.
ϛ΄ Ἀβραὰμ στίχων τ΄.

veteris quidem testamenti libri xxii et novi vii ut supra monstratum est 1 ὅσα CR τῆς παλαιᾶς *om.* CJ *in fine vers. ponit* R. Et qui veteris sunt, quibus contradicitur et non recipiuntur ab ecclesia A 2 ,βτ΄ R βγ΄ *sive* ,ζγ΄ C ⌊3 στίχων ,αρ΄ *om.* J. 4 Σοφία υἱοῦ τοῦ Σ. R Σοφία Ἰησοῦ βασιλέως Σ. CJ. Sapientia Iesu Sirach A 5 ψδὴ CJ 6 τν΄ *interiit in* J cccviii A 7 ϛ΄] καὶ J ϛ΄ καὶ R Ἰουδὴθ CJ 9 Τώβητ C ὁ καὶ J *et corr.* C Τοβίας J ψ΄] ερ΄ R 10 ὅσα CR 11—15 *om.* CR 11 ,αυ΄ J μν A 12 τ΄ J ΙΙΙΙdccc A *cod. Cass.* ΙΙΙΙdcccc A *cod. Pal.* 13 ,ατξ΄ J μccccvi A 16 Ἐνὼχ C De numeris versuum in verss. 16—20 *cf. praef.* 20 *et* 21 Μωυσέος J

Digitized by Google

ζ΄ Ἐλὰδ καὶ Μωδὰδ στίχων υ΄.
η΄ Ἠλία προφήτου στίχων τιϛ΄.
θ΄ Σοφονίου προφήτου στίχων χ΄.
ι΄ Ζαχαρίου πατρὸς Ἰωάννου στίχων φ΄.
ια΄ Βαρούχ, Ἀμβακούμ, Ἰεζεκιὴλ καὶ Δανιὴλ ψευδεπίγραφα.

Καὶ ὅσα τῆς νέας εἰσὶν ἀπόκρυφα.

. . . . . .

α΄ Περίοδοι Πέτρου στίχων ,βψν΄.
β΄ Περίοδος Ἰωάννου στίχων ,βχ΄.
γ΄ Περίοδος Θωμᾶ στίχων ,αχ΄.
δ΄ Εὐαγγέλιον κατὰ Θωμᾶν στίχων ,ατ΄.
ε΄ Διδαχὴ ἀποστόλων στίχων ϲ΄.
ϛ΄ Κλήμεντος λβ΄ στίχων ,βχ΄.
ζ΄ Ἰγνατίου, Πολυκάρπου, Ποιμένος καὶ Ἑρμᾶ.

1 Modab A υ΄ *codd.* cc A 2 Ἠλίας προφῆ τ CR Ἠλία προφήτου J Heliae prophetia A 3 προφῆ τ CR προφήτου J prophetia A 5 Ἀββακοὺμ J στίχων . . . *add.* J στί χ . . . C 8 Itinerarium Pauli versus ΠΙΔC A *om. codd.* 9 βψφ΄ C ΠΔCCC A 10 ,χ΄ CR 11 Θωμᾶν J ,αψ΄ J 14 λβ *om.* J 15 Ἑρμὰ R στί χ . . . *add.* C

Digitized by Google

Digitized by Google

# APPENDICES

Digitized by Google

## Suidas s. v. *Ἰγνάτιος.*

*Ἰγνάτιος διάκονος καὶ σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως καὶ γεγονὼς μητροπολίτης Νικαίας, γραμματικός, ἔγραψε βίους Ταρασίου καὶ Νικηφόρου τῶν ἁγίων καὶ μακαρίων πατριαρχῶν, ἐπιτυμβίους ἐλέγους, ἐπιστολάς, ἰάμβους εἰς Θωμᾶν τὸν ἀντάρτην, ἅπερ ὀνομάζουσι τὰ κατὰ Θωμᾶν, καὶ ἄλλα πολλά.*

---

Digitized by Google

I.

# ΒΙΟΣ

## τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΝΙΚΗΦΟΡΟΥ

## ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ νέας Ῥώμης

συγγραφεὶς ὑπὸ ΙΓΝΑΤΙΟΥ διακόνου καὶ σκευοφύλακος τῆς ἀγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἁγίας Σοφίας.

Εἰ μέν, ὦ ἄνδρες, μὴ δακρύων πρὸς συντριμμὸν καρδίας ἐκάλει καιρὸς καὶ λύπης ὠδὶς τὰ τῆς ψυχῆς κατέτρυχεν αἰσθητήρια, τάχα διὰ λείας ὁδοῦ καὶ κατὰ ῥοῦν ὁ λόγος φερόμενος τὸ ἑαυτοῦ, καὶ εἰ κατόπιν τοῦ προκειμένου, ὅση δύναμις ἀπεπλήρωσε πρόθυμον. νυνὶ δὲ ὑπὸ τοιούτοις ἀπαραίτητα τυραννούμενος πάθεσιν, οἷα ναρκήσας εἰς εὐφημίαν τὴν γλῶτταν καθεῖναι, τὴν μονῳδίαν προείλετο καὶ πρὸς τὴν τῶν ἐπαίνων ἀπαγορεύσας ἐπίδοσιν ὅλος τῆς κατηφείας ἐγένετο. καὶ τίς ἄρα, ὦ φιλότης, ἀπέκρουσε; τίς ἡ τὴν κατήφειαν μαιευσαμένη ὑπόθεσις, καὶ τὸν σάλον καὶ σκότον τοῖς λογισμοῖς ἐνεισκρίνασα πρόφασις; Θεοφόρου πατρός, ὦ τὰν, ἀποδημία καὶ στέρησις, ἡ τοῦ παμφαοῦς φωσφόρου τῆς ἐκκλησίας ἀπόσβεσις, ἡ τοῦ κήρυκος τῆς μόνης πρὸς Θεὸν λατρείας ἀπότευξις, ἡ τῆς μεγαλοφώνου πρὸς τὴν ἀληθῆ πίστιν διεγειρούσης σάλπιγγος σιγή, ἡ τοῦ πολυτίμου θησαυροῦ τῆς ἀΰλου διδασκαλίας ἀποκρυβή, ἡ τῶν ὑποπτέρων χειλέων πρὸς θήραν τῆς κουφώδους καὶ ἀνε-

Digitized by Google

μιαίας ἀπιστίας κατάπαυσις, ὁ τῆς νίκης ὄντως (εἰ καὶ τῷ θανάτῳ, ἅτε ἄνθρωπος, ἡττήθη) φερώνυμος. τοῦτο τὴν γλῶσσαν ναρκᾶν πρὸς εὐφημίαν ἠκόνησε, τοῦτο τῷ λόγῳ τὴν ἀφασίαν ἐκίνησε, τοῦτο πρὸς τὸ τῆς μονῳδίας ἀτόπημα τὸν λογισμὸν ἐξεκύλισε. διὰ τοῦτο (εἰ μὴ τῶν ἀγνωμόνων ἐδεδίειν τὸ ἔγκλημα, πατρὸς ἀποιχομένου παῖδα σιγᾶν προαιρούμενον, καὶ παραπέμπειν οὕτω μέγα θαῦμα μηδαμῶς τῷ μοδίῳ τῆς λήθης κρυβῆναι δυνάμενον) ἔπεισα ἂν ἐμαυτὸν τῷ τῆς ἀμαθίας νέφει ἐγκαλυπτόμενον καὶ τῇ θυέλλῃ τῆς ἁμαρτίας ὡς ὁ παλαιὸς ἐκεῖνος λαὸς ἀνειργόμενον, μὴ προσβῆναι τῷ ὄρει τῶν ἀρετῶν τοῦ ἀνδρὸς μηδὲ θιγεῖν τι αὐτοῦ τῷ ἀναξίῳ τοῦ ἐγχειρήματος, θηριώδης τῇ τόλμῃ δεικνύμενος καὶ λίθοις ἢ βολίσι καταλευστούμενος ἢ βαλλόμενος. ὅμως δ' οὖν τὸ τῆς προαιρέσεως εὐτελὲς ἐνδεικνύμενος καὶ τὴν καρδίαν ἐντὸς ὑπὸ τοῦ πόθου φλεγόμενος καὶ τὸ κατὰ δύναμιν φίλον ὂν θεῷ παιδευόμενος, ἑαυτὸν, ὡς οἷόν τε, εἰς τὸν τῶν ἐγκωμίων βυθὸν τοῦ πανευφήμου καθῆκα πατρός. ἀλλά μοι εἴη διὰ τῶν ὑμετέρων πρὸς τὸ κρεῖττον ἐντεύξεων τὸν κεκρυμμένον ἐν αὐτῷ μαργαρίτην ἑλεῖν καὶ ἀκινδύνῳ νοΐ ἀνανήξασθαι καὶ πλοῦτον τοῖς ποθοῦσιν ἡμῖν ἀπεμπολῆσαι ἀκήρατον. ἀδικοίην γὰρ ἑαυτὸν, εἰ παρ' αὐτοῦ τὴν ἀφορμὴν τοῦ λέγειν δρεψάμενος μὴ τὴν ἐκ λόγων ἀντίδοσιν εἰσενέγκοιμι.

Δεῦρο δὴ οὖν, τὸν θρῆνον ἀφέντες τῷ λόγῳ προσίωμεν καὶ τὰ τῷ θεοφόρῳ βεβιωμένα ὥσπερ τινὰ κοινὸν ἀρετῆς πίνακα τοῖς φιλοκάλοις προθήσωμεν. πᾶσι γὰρ ἔσται πρὸς ἡδονῆς καὶ ὠφελείας, οἷς ἐν ἔρωτι τὸ ἀγαθὸν διεσπούδασται καὶ τὰ τῆς ἀκραιφνοῦς πίστεως στέργεται δόγματα, τὸ ἰσχυρὸν τῆς ἀληθείας καταφανὲς προδεικνύντα καὶ τὰ νεῦρα τῶν οὐκ ὀρθῶς πρὸς ταύτην ὁρώντων ἐκκόπτοντα. περιέξει γὰρ καὶ ἀμηγέπη μεμνήσεται οὐ μόνον ὅσα ἐν ἤθεσι καὶ τρόποις αὐτῷ σεμνοτέροις κατώρθωται, ἀλλὰ καὶ ὅσα ὑπὲρ αὐτῆς ἀληθείας μέχρις αἵματος κατηγώνισται. πάν-

Digitized by Google

τας δὲ τοὺς τῆς ὀρθοδοξίας τροφίμους εἰς ἀκρόασιν ἔχειν ἐθέλω καὶ ἥδομαι καὶ οὓς ἡ ἐκκλησία τὴν ἑαυτῆς θηλήν, τὴν διδασκαλίαν, φημί, τῶν κρειττόνων γυμνώσασα τῆς πνευματικῆς καὶ τελείας τροφῆς πρὸς διάκρισιν τοῦ καλοῦ τε καὶ χείρονος ἐνεφόρησεν. ἐκείνους δὲ διωθοῦμαι καὶ ἀποπέμπομαι, ὅσοι δόξῃ μοχθηρᾷ προκατειλημμένοι ἀπεναντίας τῷ πατρὶ παρεφρόνησαν, ὥσπερ ἀμέλει τὸν Θεμέλιον τῆς ἐκκλησίας τηνάλλως παρασαλεύειν πειρώμενοι, καὶ, προφητικῶς εἰπεῖν, τὴν ἑαυτῶν ἐλπίδα τῷ ψεύδει πιστεύσαντες· οὐδὲ γὰρ περὶ αὐτὸν πονηρῶς διακείμενοι καὶ πᾶν ὅ τι οὖν κατ' αὐτοῦ δεινὸν μελετήσαντες, τοῖς εἰς αὐτὸν ἐπαίνοις ἡσθεῖεν ἂν ἢ συγκατάθοιντο πώποτε. βδέλυγμα γὰρ ἁμαρτωλοῖς, ὡς Σολομῶντι καὶ τῇ ἀληθείᾳ δοκεῖ, θεοσέβεια. ταῖς γὰρ ἄρκυσι τῶν ἀφύκτων λόγων αὐτοῦ ἀεὶ πιεζόμενοι καὶ τῷ λαβυρίνθῳ τῶν ἐλέγχων ἀδιεξίτητα περιθέοντες, ὑπ' ἀπορίας ὠθούμενοι πρὸς κακουργίας ἐτράποντο, καὶ κυνῶν ἐνεῶν δίκην τοῦ ἁγίου καθυλακτεῖν οὐχ ὑφίενται. ἄτεγκτον γὰρ καὶ ἀνένδοτον αἱρετικὴ μοχθηρία, κἂν μυριάκις τοῖς ἐλέγχοις καταποθῇ, τοσαυτάκις ἀναισχυντεῖ.

Τοιγαροῦν τούτων ὁ λόγος ἐκκλίνων τὸ δύσαντες τῆς εὐθείας ἔχεται τρίβου, φέρων εἰς μέσον τὸν εὐφημούμενον. τὸ μὲν δὴ γένος καὶ περιφάνειαν βίου, πατρίδα τε καὶ περιουσίαν, καὶ οἷς οἱ τῶν ἔξωθεν νόμοι ποιεῖσθαι τοὺς λόγους ὁρίζουσι, θαυμάζειν τε καὶ καθιστορεῖν τοῦ μηδεμίαν περὶ ταῦτα σχολὴν ἔχειν θελήσαντος, μόνοις δὲ τοῖς τῆς εὐσεβείας σεμνολογήμασιν ἑαυτὸν ὡς τὸ εἰκὸς ὡραΐσαντος, οὐκ εὐαγὲς οὐδὲ ὅσιον οἶμαι τοῖς ἀρετὴν ἐπαινεῖν ἠρημένοις ἐπιεικῶς καταφαίνεται. σοφιστικῆς γὰρ ἐρεσχελίας κανόσιν οὐχ ἕπεται ὁ διὰ τῶν ἔργων κανὼν καὶ γνώμων τῶν ἀρετῶν γνωρισθεὶς ἀπαρέγκλητος. ἀλλ' ἐπειδὴ καὶ τὸ εἰδέναι τούτου τῆς ἐπιγείου πατρίδος τὴν εὔκλειαν τῶν τε φυσάντων τὴν κατὰ Θεὸν εὐδοκίμησιν ὁδὸς εἰς θυμηδίαν καθέστηκε φέρουσα, καὶ τὸ τῆς ὑποθέσεως πρόσωπον τίθησι

τηλαυγές, καθά πού τις τῶν λυρικῶν διηγόρευσε· φέρε τῆς ἐκ τοῦ γένους τοῦ ἀνδρὸς σκιαγραφίας καὶ τῶν τῆς ὕλης τοῦ βίου προχαραγμάτων ὅλον ὑμῖν τὸν ἀνδριάντα οὐράνιον καὶ πνευματικὸν διαγράψωμεν.

Τοῦτον μὲν οὖν ἡ πρώτη καὶ βασιλὶς τῶν πόλεων πόλις ἠνέγκατο ὑπὸ θεοσεβέσιν ὄντως γεννήτορσιν, ὥς τινα ζωτικὸν σπινθῆρα ἐξ αὐτῶν σπαργάνων τὸν κόσμον πυρσεύοντα καὶ τῆς ὅσον οὔπω διαρθείσης αἱρετικῆς φλογὸς τὴν δυσσέβειαν σβέσοντα· γεννήτορσιν, οἷς καὶ ἡ κλῆσις τὸ φερωνύμοις εἶναι μαρτύρεται. Θεοδώρῳ γὰρ Εὐδοκία πρὸς γαμικὴν συνάφειαν ὁμιλήσασα τὸν ἀληθῶς εὐδόκιμον καὶ Θεοδώρητον Νικηφόρον ἐβλάστησε καὶ ὡς οὐράνιον τοῦτον φυτὸν διεδένδρωσεν· ὧν ὁ μὲν τοσοῦτον ἐν εὐσεβείᾳ τὸ ἐπίσημον ἔσχε καὶ γνώριμον, ὡς ὑπὲρ ἀληθείας ἑλέσθαι κινδύνους καὶ ὑπερορίας καὶ μάστιγας. οἶμαι δὲ προφητεία τις ἦν τῆς εἰς τὸν παῖδα μελλούσης ἐκβάσεως καὶ οἷον προχαρακτὴρ καὶ εἰκόνισμα ἐφ' ὁμοίῳ μέν, οὐ κατὰ ταὐτὸν δὲ παῖδά τε καὶ γενέτην διακινδυνεύειν φρονήματι.

Ἔλαχε γὰρ αὐτὸν κατ' ἐκεῖνο καιροῦ Κωνσταντίνῳ τῆς βασιλείου ἀρχῆς ἐπειλημμένῳ τοὺς οἴακας τὴν τοῦ ὑπογραφέως ἀποπληροῦν χρείαν καὶ τοῖς βασιλείοις μυστηρίοις ὑπηρετεῖσθαι, ὃς δὴ τῷ ἀκραιφνεστάτῳ φωτὶ τῆς πρὸς θεὸν ὀρθῆς ὁμολογίας καὶ πίστεως ὡς ἄλλος Ἀβραὰμ ὁ πατριάρχης κοσμούμενος πρὸς τὸν ταύτην τυραννοῦντα πικρῶς διαβάλλεται, ὡς Χριστὸν ἐν εἰκόνι καὶ τὴν αὐτοῦ μητέρα τὴν ἄχραντον καὶ πάντας τοὺς ἁγίους σεβάζεται. ὁ δὲ οἷα τῆς ἀληθείας ἐχθρὸς τῷ παραλόγῳ τῆς ἀκοῆς ἐξογκωθεὶς τὴν διάνοιαν παρέσεσθαι τοῦτον ὡς αὐτὸν ⟨κελεύει⟩ καὶ περὶ τῶν ἠκουσμένων ὡς τάχιστα διευθύνεσθαι. καὶ ὃς παρῆν ὡς εἰς εὐωχίαν, οὐ δίκην καλούμενος, καὶ τὴν ἀκοὴν ἐδείκνυ ἐξ ἅπαντος ἀληθεύουσαν. καὶ ἐπειδὴ βασιλεῖ τὰ περὶ αὐτὸν

28 κελεύει *om.* V (*i. e. cod. Vaticanus* 1809, *saec.* X) *add. vulg.*

Digitized by Google

κατάφωρα γέγονε καὶ ἡ τοῦ ἀνδρὸς ἀνένδοτος ἔνστασις τὴν ἐκείνου ὑποσμύχουσα ἐξῆπτε κακόνοιαν, ἀπειλαῖς ἀδοκήτοις καὶ μάστιξιν ὡς κατάκριτος ὑπεβάλλετο· ὡς δὲ μὴ καταμαλακισθέντα ταῖς αἰκίαις ὁ δικάζων ὑπέβλεπε, καθῄρει τῆς περικειμένης χλαίνης καὶ ἀξίας καὶ ὑπερορίᾳ ἐπιεικῶς χαλεπῇ κατεδίκαζε.

Καὶ εἶτα χρόνου τινὸς διιππεύσαντος ἐκ Πημολίσσης μετάπεμπτον ἄγει (τοῦτο γὰρ ἦν κατακριθεὶς πρὸς φυγαδείαν τὸ φρούριον) καὶ τῶν βασιλείων εἴσω γενέσθαι προστάττε τεθαρρηκώς, ὡς ἐγῷμαι, τῇ τῆς κακώσεως αὐστηρίᾳ μεταμαθεῖν, ὡς ἐκεῖνος τὸ ἀγαθὸν ὑπετόπαζεν. ἐνέτυχε δὲ ὄντως ἀδάμαντος πρὸς ἀντιτυπίαν στερρότερον καὶ τῶν ἀπειλῶν ἑαυτοῦ καὶ τοῦ θράσους ἀνώτερον καὶ πρὸς ἑτέρας, εἰ τύχοι, δεινοτέρας ἐπινοίας ἑτοιμότερον. ταῦτα γὰρ προτροπάδην ἐδίωκεν καὶ διὰ τῶν στιγμάτων Χριστοῦ ἑαυτὸν καλλωπίζειν ἐβούλετο, ἢ τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας διαμαρτήσεσθαι, τῆς Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν ἀποστολικῷ καὶ πατρικῷ ἔθει κατὰ τὸ ἀνθρώπινον ἀναστηλοῦσθαι καὶ προσκυνεῖσθαι δικαιωσάσης εὐκαιρότατα. ὡς δὲ στόματι τὴν σωτηρίαν ὁ ἅγιος ὡμολόγησε καὶ εἰς ἀντίπαλον μοῖραν ἑαυτὸν τοῦ τυραννοῦντος ἀπέκρινε, πρὸς ἑτέρας ἐκίνει τοῦτον βασάνων ἰδέας, ὧν τὴν πληγὴν ὑποίσας ὡς μάλιστα καρτερώτατα κατὰ τὴν Βιθυνίδα ὑπ' αὐτοῦ ἐξοστρακίζεται Νίκαιαν, ἐν ᾗ τὸ τοῦ βίου ἐπίλοιπον θεοσεβῶς ἐμπολιτευσάμενος καὶ πᾶσι τύπον δοὺς τῆς περὶ τὴν ἀληθῆ πίστιν ἐνστάσεως, πρὸς τὴν ἐκεῖσε λῆξιν καὶ μακραίωνα μετετάξατο βίωσιν, τὰ γέρα τῶν πονηθέντων ἐν τῇ τῶν βεβιωμένων διαγνώσει ληψόμενος.

Ἡ δὲ νόμῳ θείῳ τούτῳ προσομιλήσασα σύνευνος, ἅτε φιλόθεος ἀποδειχθεῖσα καὶ φίλανδρος, ἐν πᾶσι τῷ συζύγῳ συνείπετο, ἐν κινδύνοις, ἐν ὑπερορίαις, ἐν θλίψεσιν, ἐν

22 εἰδέας V *corr. vulg.*

Digitized by Google

τοῖς τῆς δικαιοσύνης, κατὰ τὸν Θεῖον ἀπόστολον, δεξιοῖς καὶ ἀριστεροῖς, λυπηροῖς τε, φημί, καὶ τοῖς ἥδουσιν. ξυνωρὶς γὰρ ὄντες πρὸς τὰ κρείττω ἑαυτοὺς παραθήγοντες, οὐχ ἧττον τῷ πνεύματι συνεκράθησαν ἢ τὰ σώματα. αὕτη μετὰ τὴν τοῦ συνοίκου μακαρίαν τελείωσιν ἐφ' ἱκανὸν χρόνον τῷ παιδὶ συμβιώσασα, ἄρτι τότε τῆς ἐγκυκλίου παιδείας ἐφαπτομένῳ καὶ τὴν διὰ χειρῶν καὶ μέλανος τέχνην πονουμένῳ. ἠρέθη γὰρ ὑπογραφεὺς τοῖς τῶν κρατούντων μυστηρίοις ὑπηρετούμενος, οὕτω γὰρ παρὰ τῇ Αὐσονίδι διαλέκτῳ τὸ Ἀσηκρήτης ὄνομα, ὁ ἐπὶ τῶν μυστηρίων μεθερμηνεύεσθαι βούλεται. ἀλλὰ μὴν καὶ ἐν τῇ τῆς ἀρχιερωσύνης λυχνίᾳ τὸν ἑαυτῆς δᾳδοῦχον φωστῆρα ἐπιτεθέντα, καὶ φῶς ταῖς τρίβοις ἡμῶν ἀειφανὲς ἀναλάμψαντα τεθέαται καὶ τῆς γονεῦσιν ὀφειλομένης παρ' αὐτοῦ μετὰ θεὸν τιμῆς ἕως γήρως καὶ πρεσβείου ὡς τὸ εἰκὸς ἐναπέλαυσεν. ἥτις τὸ μὴ βέβαιον τοῦ βίου ὡς ἀραχνίων νημάτων ἡγησαμένη μηρύματα, ἐπὶ τὸ τῆς ἀσκητικῆς παλαίστρας ἑαυτὴν ἐκδέδωκε στάδιον, κατὰ τοῦ ἀνταγωνιστοῦ κονισαμένη καὶ τοῦτον ἡττήσασα καὶ τοῦ ἐπαγγέλματος τὸν δρόμον ἀξίως τελέσασα τὸν τῆς ἀθανασίας διὰ θανάτου ἀνεδήσατο στέφανον, ἐκεῖ μετὰ τῶν ἐν τῷ νυμφῶνι παρθένων χορεύουσα καὶ τὴν ἑαυτῆς λαμπάδα τηροῦσα τῷ ἐλαίῳ τῆς εὐποιΐας ἀκοίμητον. ὦ παιδὸς τοιαύτης πατέρων εὐτυχήσαντος εὐσεβοῦς ἀναρρήσεως. ὦ πατέρων τοιούτου παιδὸς εὐμοιρησάντων εἰς ἀρετὴν ἐπιτεύξεως.

Ἀλλ' ὁ περὶ μὲν τῶν φυσάντων τὸν δίκαιον λόγος κατὰ πολὺ τῆς ἐκείνων ἀξίας ἡττώμενος ἐνταῦθα μεινάτω. αὐτὸς δ' ὅπως ἐπὶ τῷ τῆς ἀρετῆς Θεμελίῳ ἑαυτὸν ἐπῳκοδόμησε καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ, προφητικῶς εἰπεῖν, διέθετο ὑπολείπεται λέγειν, εἰ καὶ ὁ λόγος ἰλιγγιᾷ τὸ παρ' ἀξίαν εἰπεῖν ὑφορώμενος καὶ τὸ κατ' ἀξίαν ὅ γε δίκαιος ἀκροατὴς ἀπαιτεῖν οὐ βουλόμενος. οὐκοῦν διὰ μικρᾶς τινος καὶ λεπτῆς

9 ἀσικρίτης V ἀσηκρῆτις vulg.

Digitized by Google

ὁδοῦ τὸ τῆς ἀπορίας δαψιλὲς ἐπαγόμενος πειράσομαι πρὸς ἓν τι τῶν αὐτῷ κατωρθωμένων διαβλέψαι καὶ ἐκ μέρους ὅλον ὑμῖν γνωρίσαι ὡς ἐξ ὀνύχων τὸν λέοντα.

Εἶχε μὲν οὖν αὐτὸν βασιλεύς τε καὶ ἡ τῶν βασιλείων αὐλὴ οἷά τινα θείαν περιστολὴν καὶ κλέος, λόγον ἐπίσημον, ἢ τὸν Παιανιέα ῥήτορα Φίλιππος. οὐ γὰρ στωμύλος τις ἦν τὸν θῶπα λόγον ὑποκρινόμενος, ὡς ἂν τὸ πρὸς χάριν λέγων θηρῷτο τὸν ἔπαινον· λόγῳ δὲ κατὰ λόγον κινουμένῳ τὸν λόγον προυβάλλετο, οὐκ ἐν κομψείᾳ λέξεων τὸν ἀκροατὴν ἐφηδύνοντα, τῷ ἀφελεῖ δὲ καὶ ἀνειμένῳ ἐπινοοῦντα τρανῶς τὴν ὠφέλειαν. οὗτος ἐπειδή τι μέρος τῶν περὶ τὴν ὑγιᾶ πίστιν ναυαγίῳ περιπεσὸν ⟨εἶδεν⟩ ἐκ τῶν κατ' ἐκεῖνο καιροῦ τὰ τῆς Ῥωμαϊκῆς ἀρχῆς οἰακιζόντων βασίλεια, ὅσον ἐφ' ἑαυτῷ τὴν ζάλην ἔστησε. τὴν γὰρ ἀνέκαθεν ἐξ ἀποστολικῆς καὶ πατρικῆς θεσμοθεσίας τῇ ἀμωμήτῳ ἐκκλησίᾳ παράδοσιν, φημὶ δὴ τῶν ἱερῶν εἰκόνων τύπωσιν καὶ προσκύνησιν, περιελεῖν βρενθυόμενοι καὶ ὥσπερ ἀμέλει δεδοικότες βλέπειν Χριστὸν σωματικοῖς χαρακτηρίζεσθαι ἰδιώμασι, συῶν δίκην ὁμόσε κατὰ τῆς αὐτῆς εὐπρεπείας ἐχώρησαν. πᾶσαν θεανδρικὴν ἀναστήλωσιν τοῦ τὰς ἀσθενείας ἡμῶν διὰ σαρκὸς ἀνατλάντος Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τῆς τε παναμώμου αὐτοῦ μητρὸς καὶ τῶν ἀπ' αἰῶνος αὐτῷ εὐαρεστησάντων ἁγίων σωματικὰ ἀπομιμήματα χράναντες, τοπικὴν ἐπισκόπων ἀποσπάδα, ταληθὲς φάναι Φαρισαϊκὸν συν- a. 754
έδριον, ἐν τῇ τῶν πόλεων βασιλίδι συλλέξαι ᾠήθησαν. ἐκεῖνο γὰρ κατὰ Χριστοῦ μανὲν θεοκτονίας ἠνέγκατο ἔγκλημα· οὗτοι δὲ κατὰ τοῦ σωματικοῦ χαρακτῆρος αὐτοῦ ὀφθαλμῷ διαστρόφῳ προσβλέψαντες χριστομαχίας ἀξίωμα προεκτήσαντο, μηδὲν ἐξ ἀκολούθου τοῦ τῆς θείας γραφῆς προγράμματος συνειληχότες δικαίωμα, πατρικῶν δὲ λογίων τῶν κατὰ τῶν εἰδώλων ἀγορευόντων ἀποκνίσαντες ἀνοήτως ῥησείδια, καὶ τὸ ζητού-

12 εἶδεν *add. ex coni.* περιπεσὸν V περιπεσόντων *vulg.*



Digitized by Google

μενον αὐτοῖς ὑποκλέψαντες ὁρισμῷ ἀτελεῖ καὶ τὰ τῶν πατέρων γραφικῶς μεταίροντες ὅρια, τῆς ἑαυτῶν βδελυρίας τὸ φρόνημα διεχάραξαν.

Ἀλλ' ἐπειδὴ ἡ τῆς ἄνω ῥοπῆς μισοπόνηρος δίκη τοὺς κατὰ τῆς ἐκκλησίας λυττήσαντας, μᾶλλον δὲ κατὰ τῆς σεπτῆς ὁμολογίας ἡμῶν πονηρίαν καττύσαντας καὶ τοῦ βίου πέπαυκε
a. C 780 καὶ τῆς ἀξίας, καὶ ἡ τῆς εἰρήνης ἐπώνυμος ἅμα τῷ υἱεῖ Κωνσταντίνῳ ἅτε κλῆρον πατρῷον τὸ τῆς βασιλείας ἐκ θεοῦ σκῆπτρον κομίζεται· Εἰρήνη, τὸ κραταιόφρον ἐκεῖνο καὶ φιλόθεον γύναιον· εἴπερ γυναῖκα θέμις καλεῖν τὴν καὶ ἀνδρῶν τῷ εὐσεβεῖ διενεγκοῦσαν φρονήματι, δι' ἧς θεὸς τὴν τότε τῇ ἐκκλησίᾳ παρερπύσασαν ὄφεως δίκην σκολιωτάτην διχόνοιαν πρὸς ὀρθοτομίαν οἴκτῳ φιλανθρωπίας συνήλασεν. αὕτη
a. C. 787 τοιγαροῦν ὁμήγυριν ἱερῶν ἀνδρῶν ἐκ τῶν τῆς οἰκουμένης τερμάτων συναγηγέρθαι ἐν τῇ κατὰ Νίκαιαν τῆς Βιθυνίας μητροπόλει ἐπ' ἀναιρέσει τῆς λοιμώδους ταύτης νόσου θεσπίσασα, θεοῦ λοιπὸν ἐπαμύνοντος ἐτέλει τὸ βούλημα. ἧς ἡγεῖτο μὲν Ταράσιος ὁ τῆς βασιλίδος ἱερώτατος πρόεδρος, Ἀδριανοῦ τε τοῦ τῆς πρεσβυτέρας Ῥώμης, καὶ Πολιτιανοῦ τοῦ τῆς Ἀλεξανδρείας, Θεοδωρήτου ⟨τε τοῦ τῆς⟩ Ἀντιοχείας, καὶ Ἡλία τοῦ τῆς Αἰλίας ὑπῆρχον τοποτηρηταὶ ὁσιώτατοι. τούτοις δὴ τοῖς προκρίτοις ἐξάρχουσι καὶ Νικηφόρος ὑπὲρ πολλοὺς συνηλικιώτας συνοδοιπορεῖν προτετίμητο, τὸ κατὰ τὴν ἱερὰν ἐκείνην σύνοδον ἐγχειρισθεὶς βασιλικὸν ἐπιφώνημα, δι' οὗ τὸ εἰλικρινὲς τῆς πίστεως πᾶσιν ἐπικηρυκευσάμενος καὶ ὡς ἐξ ἀπόπτου περιωπῆς τὴν τῶν σεπτῶν εἰκόνων ἐπιβοήσας καὶ τρανώσας ἀρχαϊκὴν ἱερογραφίαν τε καὶ προσκύνησιν, συγκάθεδρος τῷ ἱερῷ συλλόγῳ καὶ πρὸ τῆς ἱερᾶς ἀμπεχόνης γεγένηται. οὗτος ὁ περὶ τὴν εἰς θεὸν εὐσέβειαν ἀγὼν τῷ μακαρίῳ διήνυσται· τοῦτο πρῶτον ἆθλον καὶ στέφος αὐτῷ ἀναφαίρετον, πολλῷ τῶν ἐξ ἐρίου καὶ κοτίνου καὶ σελίνου

15 συνανηγέρθαι V *corr. vulg.* 20 τε τοῦ τῆς *addidi. om.* V *vulg.* 29 οὗτος α' (= πρῶτος) περὶ?

Digitized by Google

καὶ οἷς γεραίρειν οἱ παλαιοὶ τοὺς ἐκπαλαίοντας ᾤοντο, τιμαλφέστερον.

Καὶ ἐπεὶ δὲ τὸ πατρικὸν ἐκεῖνο καὶ Θεόλεκτον σύστημα, ταῖς τοῦ θείου πνεύματος ἐμπνευσθὲν αὔραις, ἐπὶ λιμένα ὀρθοδοξίας τὸ τῆς ὁμολογίας διεσώσατο σκάφος, καὶ ὁ τῆς ἐκκλησίας αὖθις ταῖς ἱεροτυπίαις χιτὼν ἐποικίλλετο, καὶ ἡ τῆς αἱρέσεως ὠδὶς νεκρὰν ἐξέρρηξε τὴν ἀπότεξιν, τότε δὴ καὶ ὁ μέγας Νικηφόρος, τὰ νίκης ἐπιφερόμενος σήμαντρα, κατὰ τῶν τῆς πίστεως ἀντιπάλων τορόν τι καὶ ἐννάλιον ἀνεκρούετο μέλος, Χριστὸν εἶναι πιστούμενος ἀπερίγραπτον μὲν κατὰ τὸ τῆς θεότητος ἁπλοῦν καὶ ἀνέπαφον, περιγραπτὸν δὲ καὶ γραπτὸν κατὰ τὸ τῆς ἀνθρωπότητος ἁπτόν τε καὶ σύνθετον, οἷς τὸ εἰκονίζεσθαι ἀραρότως ἐπακολουθήσοι, ὡς ἂν τῆς φαντασιώδους τῶν τὰ Μάνεντος πρεσβευόντων ἀποπηδήσαιμεν ὀνειρώξεως. ταῦτα λέγων καὶ οὕτω φρονῶν διετέλει ἐν τῇ μυστικῇ τῶν κρατούντων, ὡς εἴρηται, ὑπηρεσίᾳ στρεφόμενος καὶ τοῖς δημοσίοις ἐπιζυγούμενος πράγμασιν.

Ἀλλ' ἐπειδὴ μυστικωτέραν τὴν ἑαυτῷ προσέχειν καὶ μόνῳ Θεῷ προσανέχειν κελεύουσαν ἐντολὴν ἐξεπίστατο (οὕτω γὰρ τῶν ὑλικῶν ἔστι χωρίζεσθαι καὶ πρὸς Θεὸν ἤδη φέρεσθαι), ἐπὶ τὸ τῆς ἐρωμένης ἡσυχίας μονότροπον ὑποκλέπτειν ἑαυτὸν διεσπούδαζεν, ἀντιβολῶν καὶ πάντα τρόπον ἱκεσίας ἐπινοῶν, ὡς ἂν τοὺς πρὸς τὴν περιφορὰν τοῦ βίου ἀνθέλκοντας πείσειεν ἀνεῖναι τοῦ βουλήματος ἔχεσθαι. καὶ μέντοι καὶ ἔπεισεν, καὶ ὅσον οὐκ ἀπετετέλεστο τῶν βεβουλημένων ἀπώνατο. ὅθεν τῆς ὀχληρᾶς ἀγορᾶς καὶ τῶν ἐν μέσῳ στροβούντων θορύβων μικρὰ φροντίσας, τήν τε τοῦ ἀξιώματος δόξαν ἐρίῳ στέψας καὶ χαίρειν πᾶσιν ὑπειπὼν ὅσα πρὸς βλακείαν καὶ θρύψιν ἐκκαλεῖται καὶ σωματικὴν ἡδυπάθειαν, ἐπί τινα λοφιὰν ἀντικρὺ τοῦ Θρᾳκικοῦ Βοσπόρου μεταναστεύει οὐδὲν πλέον τῆς Ἡλιοῦ μηλωτῆς, τῆς ἀκτησίας φημί, πρὸς τὸν ὅμοιον ἐπιφερόμενος Κάρμηλον· ἀκτησίαν, τὴν ὄντως τὸ πρῶτον τεκταινομένην εἰς ἀρετὴν καταγώγιον, ἣν ὁ



Digitized by Google

κτησάμενος ἀφθαρτίζεται καὶ τὴν τῶν ἀγγέλων ἀσπάζεται δίαιταν. ταύτην οὖν συνέμπορον ὁ μεγαλέμπορος οὗτος κτησάμενος καὶ στέργων ἐκ πολλῶν, ἢ τῶν ἐκ Σουφεὶρ λίθων καὶ Σηρῶν νημάτων ἕτεροι, ἐπὶ τὸν, ὡς εἴρηται, νέον Κάρμηλον ἵετο· τραχύτητι μὲν καὶ δυσχωρίᾳ τὸ ἀκαλλὲς ἐνδεικνύμενον, τῷ ἀνάντει δὲ τῆς ἀκρωρείας πολλὴν πρὸς καρπογονίαν ὑποφαίνοντα στείρωσιν, πολυδίψιόν τε καὶ ἄτεγκτον καὶ εἰ μὴ φορητόν, αὐτῆς τῆς ἐκ νεφῶν ἐπιρροῆς διὰ τὸ πρανὲς στερισκόμενον.

Καὶ τί δεῖ τὸ ἀντιτυπὲς τοῦ χώρου καὶ πρὸς θέσεως εὐμοιρίαν ἀσύμφορον ἐπὶ πολὺ τῷ λόγῳ ἐνδαψιλεύεσθαι, ἑνὸν ἐκεῖσε γενόμενον τὸν βουλόμενον πρὸ τοῦ λόγου τὰ τοῦ τόπου γνωρίσαι καὶ τεκμήρασθαι, οἷος ἦν καὶ οἷος ἐκ τούτου γεγένηται; ὡς γὰρ διεφθορὸς καὶ ῥακῶδες ἱμάτιον ἀπεκδυσάμενος τὸ ἀγροικικὸν καὶ ἀνήμερον, καὶ τῷ γόνιμος χρηματίσαι τὸ ἄκαρπον διωσάμενος, τό τε διψαλέον τῇ ἄνωθεν ἐπομβρίᾳ, διὰ σηράγγων ὑποτρεχόντων δεξαμενὰς ἐκ δεξαμενῶν ἀλληλούχῳ δαψιλείᾳ πιαινόμενος, τῆς Ἀλκινόου αὐλῆς καὶ τῆς χρυσῆς Ξέρξου πλατάνου τὸ τερπνὸν ὑπερήλατο, ὁπόσον μυθικῶν πλασμάτων σεμνότερόν ἐστιν ἀληθεια. σηκοῖς τε μαρτύρων καθαγιασθεὶς τοῖς τούτων ἱεροῖς ἐντελῶς διαποικιλθεῖσιν ἀθλήμασι τὸν τοῦ θεοῦ, κατὰ τὸ λόγιον, ἐκμιμεῖται παράδεισον. τὸ γὰρ τῆς διαίτης διαρκὲς καὶ πρὸς οἴκησιν ἀμφιδέξιον τίς οὐκ ἂν καὶ πρὸ τῆς πείρας ἀγάσαιτο; τοιγαροῦν σεμνεῖον ἱερῶν ἀνδρῶν τὸν χῶρον διώρισε πρὸς ἄληκτον ὑμνολογίαν τοῦ κρείττονος, μεθ' ὧν καὶ αὐτὸς ἀδιαστάτως νύκτωρ τε καὶ μεθ' ἡμέραν ταῖς εὐκτικαῖς ἱερολογίαις ἐγκαρτερῶν καὶ τῷ ἀρίστῳ μέτρῳ τῆς ἐγκρατείας κατεντρυφῶν τῇ ἀναγνώσει τῶν θείων προσεῖχε καὶ τοῖς μαθήμασι, τράπεζαν μὲν Συρακουσίαν καὶ μέχρις αὐτῆς

3 ἐκ πολλῶν *vulg.* ἐκ πολλῶ V ἐκ πολλοῦ? 14 ῥακκῶδες V *corr. vulg.* 15 τῷ] τὸ V

ἀκοῆς εἰσδέξασθαι παραιτούμενος, τῇ δὲ συγκρατούσῃ πρὸς ζωὴν αὐταρκείᾳ τρεφόμενος.

Ἀλλ' ἐπειδὴ μαθημάτων ἐμνήσθην, οὐκ ἄχαρι οὔτε μὴν παρέλκον ἡγοῦμαι καὶ τῆς περὶ ταῦτα τοῦ ἀνδρὸς ἐπιμνησθῆναι ἀκριβείας τε καὶ ἀκρότητος. πρὸς γὰρ τῇ τῶν θείων λογίων μελέτῃ καὶ τὴν τῆς Θύραθεν ⟨παιδείας⟩ εἰσεποιήσατο μέθεξιν· τῇ μὲν τὸ ἐν διδαχαῖς καταπλουτίσαι θέλων πειθήνιον, τῇ δὲ τὸ τῆς πλάνης διελέγχειν ἀπίθανον. ὡς γὰρ ἀρετὴ νόμου δικαίου τε καὶ ἀδίκου κατάληψιν ἐπαγγέλλεται, ἵνα τὴν ἀξίαν ἀντίδοσιν τοῖς ἐπαΐουσιν ὁπότερον ταλαντεύσειεν, οὕτω καὶ τὸ τῆς παιδεύσεως ἐντελὲς ἑκατέρας πρὸς διδασκαλίαν προσήκει φέρειν τὴν εἴδησιν. οὐχ ὅτι παράλληλα τίθεμεν ἄμφω, μὴ γένοιτο· οὐ γὰρ ἐφάμιλλος δεσποίνῃ θεράπαινα, οὐδὲ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας, ἵνα καὶ τῶν πρὸς Ἀβραὰμ λεχθέντων μνησθῶ. ὅσος γὰρ περί τε γραμματικὴν ἦν καὶ τὰ μέρη ταύτης καὶ ὄργανα, ὑφ' ὧν τὸ τῆς γραφῆς ὀρθὸν, καὶ μὴ, διακρίνεται καὶ ἡ Ἑλληνὶς γλῶσσα εὐθύνεται καὶ ἡ τῶν μέτρων βάσις ῥυθμίζεται, καὶ αὐτοῖς γοῦν τοῖς καὶ μετρίως τῆς τέχνης ἐπῃσθημένοις καθέστηκε γνώριμον. ὅσος τε περὶ τὴν τῶν ῥητόρων ἐφάνη πολύφθογγον φόρμιγγα ἡδυεπὴς καὶ μειλίχιος οὐ χαλεπὸν συνιδεῖν· τὸ γὰρ κατεγλωττισμένον ταύτης καὶ λάλον, καὶ ὅσον πρὸς σοφιστικὴν ἀπονεύει εἰκαιομυθίαν τε καὶ φληναφίαν παρωσάμενος, δι' εὐκρινείας τε καὶ καθαρότητος τὸ τῆς συνθήκης ἡδὺ καὶ χαρίεν ἐπετήδευε.

Περί τε τὴν τῆς μαθηματικῆς τετρακτύος ἀνάληψιν, ἥτις ἐκ πεπερασμένων συνεχῶν καὶ πεπερασμένων διωρισμένων τὴν σύστασιν εἴληφεν (ἥ γὰρ κινεῖται καὶ ποιεῖ τὴν ἀστρονομίαν· ἢ ἀκίνητός ἐστι καὶ ποιεῖ τὴν γεωμετρίαν· ἢ

6 *παιδείας om.* V *add. vulg.* 8 *ἀπείθανον* V *corr. vulg.*
29 *sqq.* ἢ] ἡ V

Digitized by Google

πάλιν ἐν σχέσει τυγχάνει καὶ ποιεῖ τὴν μουσικήν· ἢ ἄσχετός ἐστι καὶ ποιεῖ τὴν ἀριθμητικήν), ἐπὶ τοσοῦτον οὗτος δι' ἐπιμελείας ἀφίκετο, ὡς ἀντὶ πάντων ἕν, καὶ ἀντὶ ἑνὸς ἅπαντα ἐξασκήσας ἐν πᾶσι τὸ πρωτεῖον πορίσασθαι. μουσικὴν δὲ ἡρμόσατο λύραν οὐχ οἵαν Πυθαγόρας ὁ Σάμιος, οὐχ οἵαν ὁ ἀπατηλὸς Ἀριστόξενος, μᾶλλον δὲ τὴν ἑκατονκαιπεντηκοντάχορδον· καὶ ταύτην κρούων ἀεὶ τῶν ὑπηκόων ποτὲ Σαοὺλ τὴν νόσον ἀπήλασε, καὶ τὸν ὠμότατον τύραννον τῷ τῆς κακοδοξίας καταγχόμενον πνεύματι καὶ ἀμεταμέλητα κατὰ τῆς Χριστοῦ οἰκονομίας ἐμπαροινήσαντα, ᾠκειώσατο μέν, τῆς δὲ τούτου λύμης τὸ ποίμνιον διεσώσατο.

Ταύταις ταῖς τέσσαρσι θεραπαινίσι τῆς ὄντως ἐπιστήμης προσομιλήσας σαφέστατα, ἐπὶ τὴν τούτων δέσποιναν, τὴν φιλοσοφίαν φημί, καὶ τὰ ταύτης ἐξ ἑτοίμου ἐβάδισεν ἁπλανῶς θεωρήματα. τίνες γὰρ ὅροι ταύτης καὶ πόσοι ἐπεικῶς ἠκριβώσατο, καὶ τίς ἰδιότης αὐτῶν, ποῖος ὑπόκειται, καὶ τί τὸ κατηγορούμενον, καὶ τοῦτο ἆρα κατὰ παντός, ἢ οὐδενός, ἢ ἐν ὅλῳ, καὶ τὰ ὅμοια. τί ποτε δὲ τὰ στοιχεῖα θέλει δηλοῦν παρ' αὐτοῖς, καὶ εἰ τῶν φυσικῶν ἢ γεωμετρικῶν ταῦτα μόνων ὁμώνυμα· προτάσεις δὲ πόσαι, καὶ πῶς ἀντιστρέφουσι· τίς ἀντιφάσεως δύναμις· τὰ προσκατηγορούμενα δὲ ποῖα, προσδιορισμοὶ δὲ τίνες, καὶ τίσιν ἀναλογεῖ τὸ κατ' ἐκείνους ἀόριστον, τρόποι δὲ πόσοι τῶν συλλογισμῶν· ὁποῖα καὶ πόσα τὰ σχήματα· ποῖος ὑποθετικὸς, ποῖος δὲ κατηγορικὸς, καὶ τί διαφέρουσι· καὶ εἰ πάντας ἡ εἰς ἀδύνατον ἀπαγωγὴ βεβαιοῖ· ὅπως δὲ καὶ ποσάκις ταῦτα κεράννυται, πῶς συμπεραίνεται καὶ ἀναλύεται· τίς παραλογισμοῦ σύνθεσις, τίς σοφιστικὸς καὶ πῶς ψευδής τε ἅμα καὶ πιθανός· καὶ οἷος ὁ μονολήμματος· ὁ λεκτικὸς δὲ ὅπως ἐνδεχόμενος συνάγει τὰ ἔνδοξα, καὶ τίς ἡ τούτων ἐπαγωγή· ποίαν ἀνάγκην ἔσχεν ὁ ἀποδεικτικὸς ἐκ τῶν χειρόνων θη-

10 οἰκειώσατο V

ρεύειν ἀλήθειαν· τὰ προβλήματα δὲ τούτων ὁποῖα, τὰ ἀξιώματα, τὰ ὡς ἐν ἀξιώμασιν· ὕλην δὲ τίνα λαμβάνουσι, μίξεις τε καὶ συμπλοκάς· τίνες τε πρῶται τῶν φυσικῶν ἀρχαὶ καὶ πῶς ἀναπόδεικτοι· τίς ἡ στάσις, ἡ ταυτότης δὲ ποσαχῶς, ἑτερότης δὲ ποῦ, καὶ πρὸς τί καὶ πῶς καὶ πότε· συνεχὴς δὲ ἆρα τῶν ἀρχῶν ἡ πρόοδος, καὶ πρὸς τὸ συνεχὲς οὐχ ὁρίζεται· τίς ὁ κινήσας ποιὸν ὀργανικὸν, τί τὸ γόνιμον, το προοδεῦσαν, καὶ ποιὸν ἐκπυρηνισθὲν, καὶ διὰ τίνος, καὶ περὶ τί συννεύει κατὰ αἵρεσιν, κατὰ βίαν δὲ ἆρα· τί τὸ συγκρατοῦν τὰς ποιότητας· ἐκ ποίας δὲ ταῦτά φασιν ἐκεῖνοι στερήσεως, καὶ εἰ ἐκ τοῦ μηδαμῆ μηδαμῶς· καὶ ὅπως εἰς γένεσιν καὶ οὐσίωσιν ἐξ ἐναντίων ἐλαύνεται, ὅπως δὲ πάλιν τοῖς ἐναντίοις ἀφανίζεται καὶ συμφθείρεται.

Ταῦτα καὶ τὰ τοιαῦτα προσοχῇ νοὸς καὶ νήψει τελείᾳ κατὰ τὸ δυνατὸν ἐξετάσας, καὶ τῆς τούτων ὠφελείας ἄκρῳ δακτύλῳ γευσάμενος ἐφιλοσόφει σιγὴν πολυῦμνητον, καὶ πρὸς οὐρανὸν ὑψοῦσαν ταπείνωσιν ἐπεδείκνυτο. τελεία γὰρ γνῶσις ἀνδρός, τὸ τὴν τελείαν κατάληψιν εὐχαρίστως ἀποδιδόναι τῷ κρείττονι, καὶ γινώσκειν, ὅτι μὴ τὰ ὄντα, ὡς αὐτὰ κατ' οὐσίαν ἐστὶ, κατείληφεν. οὕτω φύσεως δυνάμει καὶ γνώμης βουλήσει καὶ χάριτος ἐπινεύσει θείας ἐν περιλήψει τῶν μαθημάτων γενόμενος πρὸς ἐπίβασιν τῶν θείων ἀρετῶν οὐχ ἧττον ἠπείγετο. οὐ γὰρ ἔκρινε τὸ ἐν ἐκείνοις εὐδόκιμον πρὸς ἀρετὴν αὐτῷ γενέσθαι ἐμπόδιον· ἀλλ' ὁδῷ καταλλήλῳ καὶ τάξει χρησάμενος ταῖς ἐπ' ἄμφω προκοπαῖς ἐπεκτείνετο, καὶ πρὸς τὴν ἑκατέρας ἔφθασε τελειότητα.

Σωφροσύνην μὲν τὴν τῆς φύσεως ἀντίφυτον δι' ὀλιγαρκείας καὶ ἐγκρατείας σύνοικον ποιησάμενος καὶ τὰ τῶν ἐπ' ὀμφαλοῦ γαστρὸς ἐπιτιθεμένων ἀκαθέκτων παθῶν ἀποπτύνων οἰδήματα, ἀοργησίαν δὲ τῇ ἐμφύτῳ πραότητι προσκτησάμενος καὶ ὅλον ἑαυτὸν ἐμπαρέχων τοῖς πᾶσι μειλίχιον,

30 ἐκφύτῳ V *corr. vulg.*

Digitized by Google

τὸ τῆς ὀργῆς εἰδεχθὲς ἀπερράπιζε πρόσωπον. ὁ γὰρ θυμὸς οὐ κατὰ τὴν τοῦ ὄφεως ὁμοιότητα προσῆν αὐτῷ, κατὰ μόνου δὲ τοῦ τὴν πτῶσιν ἡμῖν προξενίσαντος δράκοντος ἐπετείνετο. ἀφιλαργυρίαν δέ, τὴν πρὸς ἄϋλίαν τὸν ἄνθρωπον ἐπαλείφουσαν, οὐκ ἐν πίθῳ κατὰ τὸν Κυνικὸν ἐκεῖνον φιλόσοφον ἐθησαύριζεν· τῇ δὲ πρὸς τοὺς πένητας ἀεννάῳ χορηγίᾳ διὰ παντὸς πλατυνόμενος χρημάτων κατεφρόνει καὶ τὴν πρὸς αὐτὰ φέρουσαν ὁδὸν ἐξετρέπετο. τὸ γὰρ μή τι ποιεῖν κατ' ἐπίδειξιν εὐκαίρως φιλοσοφήσας καὶ τὸ συνειδὸς ἀθόλωτον ἐν τούτῳ κτησάμενος, οὐ μόνον τὴν δεξιὰν πρὸς ἐλεημοσύνην καθώπλιζεν, ἀλλὰ καὶ τὴν ταύτης γνῶσιν τῇ ἀριστερᾷ προσεθάρρησεν, ὡς εἰς παντελῆ ἀπάθειαν τοῦ ἀκορέστου τοῦδε φθάσαι νοσήματος.

Ὅθεν καὶ τοῦ μεγίστου πτωχείου τῶν κατὰ τὴν βασιλίδα ἐπιτροπεύειν προτροπῇ βιαίᾳ τῶν κρατούντων ἡ χάρις ἠξίωσε, προευτρεπίζουσα τούτῳ, καί, ὡς ἔπος εἰπεῖν, ἐγχειρίζουσα τῇ μερικῇ διεξαγωγῇ τὴν τῆς καθολικῆς ἐκκλησίας κυβέρνησιν. ἀλλὰ μὲν ταῦτα καὶ περὶ τούτων καθιστορούντων ἕτεροι, οἷς ἐν ἔρωτι καὶ πόθῳ τὰ ἐκείνου μελίττης δίκην ὡς ἐκ πολυανθοῦς ῥοδωνιᾶς ἐρανίζεσθαι προτερήματα, καὶ πρὸς κηρίου γλυκύτητα, ζήλου φημὶ θείου, τὴν τούτων λογικῶς ἀποθησαυρίζειν ποιότητα. οἶμαι γὰρ ὡς οὐκ ἀπορήσει τις τῶν εἰς τοῦτο φέροντων, πολλῶν ὄντων καὶ μεγάλων καὶ μὴ ἐώντων ἕτερον ἑτέρου προληφθῆναι διὰ τὸ πάντα εἰσφέρεσθαι τὸ ἀκρότατον. ἡμεῖς δὲ τὸ τοῦ λόγου προσκορὲς οἷα δὴ τὸν ἀκροατὴν πρὸς ἀηδίαν ἕλκον ἀφιέμενοι, πρὸς τὰ ἑξῆς, ἢν διδῷ θεός, βαδιούμεθα.

a. 806 Ἄρτι μὲν Ταράσιος ὁ τῆς ἐκκλησίας φωσφόρος ἀκοίμητος, ὁ τὴν ὁλκάδα καλῶς πηδαλιουχήσας τῆς πίστεως καὶ ὑπερτέραν δείξας τοῦ τῆς αἱρέσεως κλύδωνος, καὶ τοῖς τῆς ὀρθοδοξίας ἀγωγίμοις βριθομένην ἐλλιμενίσας ὡς ἄριστα, ἐκ

18 μὴν?

τῶν ἐπικήρων πρὸς τὴν ἀμείνω λῆξιν ἀπάρας, προσετέθη τοῖς πατράσιν ὁ πατήρ, τοῖς πατριάρχαις ὁ ὑπὲρ ἀληθείας τὴν πατριαρχίαν δεξάμενος, τοῖς ὁσίοις ὁ τὸ ὅσιον διὰ βίου ὁσίως δεξιωσάμενος, τοῖς ἀληθέσι ποιμέσιν ὁ τὸν ἀρχιποί-
5 μενα Χριστὸν μιμησάμενος καὶ κατ' ὄνομα καλῶν καὶ γινώσκων τὰ πρόβατα καὶ τῇ τῶν λόγων βακτηρίᾳ τοὺς λύκους ἀποσοβῶν καὶ πρὸς τὰς ἐπαύλεις τῆς ὀρθῆς ὁμολογίας εἰσελαύνων καὶ πίστεως. οὗτος οὖν ἐκεῖνος ὁ αἰθέριος ἄνθρωπος, ὁ ἐν γῇ βιοὺς καὶ ἀγγέλων ἁμιλληθεὶς ὅση δύναμις,
10 σὺν τῇ ἀλήπτῳ ψυχῇ καὶ τὰς τῆς ἱερατείας ἡνίας χειρὶ θεοῦ παραθέμενος, ἐλιπάρει διὰ καθαρᾶς, ὡς ἐγῷμαι, τὸ θεῖον ἐντεύξεως, τὸν ἄξιον τῆς ἀρχιερωσύνης ἡγήσασθαι, καὶ τῆς πλησίον Χριστοῦ ἐκκλησίας περιλάλητον ἀναδειχθήσεσθαι κήρυκα. πόνοις γὰρ πολλοῖς καὶ ἱδρῶσι τὴν ἐν
15 αὐτῇ φυεῖσαν τῆς αἱρέσεως ἄκανθαν προθέλυμνον ἐκτεμὼν καὶ τὰ ἐν μέσῳ σκῶλα καὶ σκάνδαλα τῇ χειραγωγίᾳ τοῦ πνεύματος ὑφελόμενος καὶ τῷ λογικῷ ἀρότρῳ νεώσας τὴν τῆς πίστεως ἄρουραν, καὶ σπείρας οὐκ ἐφ' ὁδοῦ καὶ πέτρας καὶ ἀκανθῶν τὰ τῆς Χριστοῦ οἰκονομίας θεοπαράδοτα σύμ-
20 βολα, ἀλλ' ἐπὶ γῆν ἀγαθήν τε καὶ γόνιμον, καί, οἷαν τὰ λόγιά φασιν, ἑκατοστεύουσαν, τὸν ἀντιληψόμενον τῇ αὐτοῦ γεωργίᾳ καὶ μετὰ τελευτὴν ἰδεῖν ἐπόθει καὶ ἔστεργεν. καὶ οὐκ ἐψεύσθη γε τῆς αἰτήσεως· ὁ γὰρ τοῖς ζητοῦσιν ἀεὶ θεὸς εὑρισκόμενος, καὶ τοῖς κρούουσι θύραν ἀνοίγων, καὶ τὰς
25 ἀληθεῖς αἰτήσεις ἀποπεραίνων δακτύλῳ θείῳ καὶ πνεύματι τὸν τῆς ἱερᾶς χρίσεως ἄξιον Νικηφόρον τρανῶς ὑπεδείκνυε, καὶ τῷ τότε κρατοῦντι ὁμωνύμῳ βασιλεῖ τὰ περὶ τὴν ἀληθῆ πίστιν τελείῳ τυγχάνοντι λευκότερον ὑπεμήνυεν.

Ὅς (καὶ γὰρ ἦν ἀγχινούστατος εἰ καί τις ἄλλος) δι'
30 ἐρεύνης εἶχε πολλῆς ἐγκαθιδρῦσαι τῇ ἀνάνδρῳ νυμφίον τε καὶ προμνήστορα ἱκανῶς ἔχοντα τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ

9 ὅση] ὡς ἡ V *corr. vulg.*

Digitized by Google

λόγου ἀνθέξεσθαι καὶ βαδιεῖσθαι κατ' ἴχνος τοῦ προποιμάναντος λογικώτατα. διὸ καὶ πᾶσιν ἀνεκοινοῦτο ἱερεῦσί τε καὶ μονάζουσι καὶ τῆς συγκλήτου βουλῆς ὅσον ἔγκριτον καὶ προὔχον ἠπίστατο, ὡς ἂν τῇ τῶν πλειόνων ἐκλογῇ δικαιοτάτῃ οὔσῃ, καὶ τῇ τοῦ θείου πνεύματος ἐπινεύσει τὸ βέβαιον λαμβανούσῃ καὶ ἡ αὐτοῦ ἐφέψοιτο βούλησις. οἱ δὲ (καὶ γὰρ ἀνθρώπους ὄντας διαδρᾶναι τὸ πρὸς χάριν ἀδύνατον) τῇ ἀπ' ἀλλήλων διαστάσει τὸ ὁμόγνωμον διαλύσαντες ἄλλος ἄλλον ἐψηφολόγει καὶ εἶλκεν, οὐχ ὃν ἡ τῆς ἄνωθεν προπῆς ὑπέγραφε πρόγνωσις, τὸ ἑκάστου δὲ θέλειν ἀνετοῦτο καὶ ἔπειθεν. τῷ δὲ βασιλεῖ τὸ τοῦ νοῦ δραστήριον Νικηφόρον ὑπεζωγράφει ποιμνίαρχον, καὶ πρὸς ἐκεῖνον ὁρᾶν πάντας συνήλαυνεν, ὑπομιμνήσκων τῶν ἀρετῶν τοῦ ἀνδρὸς τὰ αὐχήματα, τὸ ἐν λόγοις, τοῖς τε πνευματικοῖς καὶ τοῖς θύραθεν, καίριον, τὸ ἐν ἤθει ταπεινὸν καὶ μειλίχιον, τὸ ἐν συνειδήσει πρὸς πάντας εἰλικρινὲς καὶ ἀπρόσκοπον. καὶ ἁπαξαπλῶς, οἷα νιφάδι τῷ συνεχεῖ τῶν βασιλικῶν ἐκείνων λογίων τὰς πάντων ἀκοὰς κατακλύσας, μηδεμιᾶς ὑπούσης βίας, εἰς μίαν ψῆφον ὡς εἰς σαγήνην τοὺς πάντας ἐξώγρησεν· ἐξ ἐκείνου τε γὰρ ἐν παντὶ χείλει καὶ γλώσσῃ πάσῃ Νικηφόρος πατριάρχης ἀνηγορεύετο.

Στέλλει γοῦν βασιλεὺς ὡς αὐτὸν ἄνδρας ἀπαγγελοῦντας, παντὸς ὄκνου καὶ πάσης ἄτερ ἀναβολῆς τὴν ἑαυτοῦ παρουσίαν τῇ βασιλίδι χαρίσασθαι. ὁ δὲ τὴν ἐπαινουμένην ὑπακοὴν μᾶλλον τῆς ἐπιψόγου παρακοῆς ἀνθελόμενος, καὶ οὐχ ἑκὼν τοῖς ἄγειν ἐθέλουσιν εἵπετο. καὶ ἐπεὶ τῷ αὐτοκράτορι τὸ ζητούμενον ἤνυστο καὶ κατ' ὄψιν εἶχεν ὁρᾶν τὸ ποθούμενον, ταῦτα πρὸς αὐτὸν διειλέχθαι λέγεται· ἐμοὶ μέν, ὦ ἄνερ θεῷ μεμελετημένε, εἴπερ ἦν τῶν θείων κατολιγωρεῖν προστάξεων καὶ ἀμελείᾳ τῆς τούτων ἐργασίας ἐπιλελῆσθαι, ἦν ἄρα τις πρανὴς τε καὶ πλατεῖα ὁδός, δι' ἧς καὶ τὸν τυχόντα καὶ ἄξιον μηδὲν προεισενεγκόντα τοῦ βήματος πλὴν τοῦ βούλεσθαι, ἀρχιερέα τῇ βασιλίδι προστήσασθαι. ἀλλ'

Digitized by Google

ἐπειδὴ παρὰ τῆς θείας γραφῆς νενουθέτημαι, οἷον εἶναι δεῖ τὸν ἱερᾶσθαι μέλλοντα καὶ ἄλλους εἰς τοῦτο προάγειν ὀφείλοντα, ὅτι ὑψηλὸν ἀρετῇ καὶ ἀνέπαφον χείλεσι, γνῶσιν φυλάσσοντα καὶ νόμον ἐκζητούμενον ἐν στόματι φέροντα καὶ διὰ τοῦτο χρηματίζοντα κυρίου παντοκράτορος ἄγγελον, δέδια μὴ τὸ ἱερὸν ἐκεῖνο παραβλέψας νουθέτημα ἀμελείας ὑποίσω δίκην, καὶ τὴν ἀπειλουμένην ἀρὰν εἰς ἐμαυτὸν ἐκκαλέσωμαι. νῦν οὖν θεοῦ τὴν ἱερωσύνην καὶ τὰς ἡνίας τοῦ οὐρανίου τούτου διαύλου ὑμῖν ἐγχειρίζοντος, μὴ ἀπαναίνεσθαι τὴν κλῆσιν, ἀλλ' ὑποδύντα τὸν θεῖον ἀγῶνα πρὸς τὸ κοινῇ λυσιτελοῦν ἀφορᾷν. ἴσμεν γὰρ ὡς κατὰ τὸν σὸν καὶ κοινὸν καθηγεμόνα Παῦλον, μὴ πρὸς ἀέρα τὴν πυκτικὴν ἐπιδείξασθαι, μηδὲ δραμεῖσθαι ὑμᾶς τεθαρρήκαμεν ἀκατάληπτα· διὰ δὲ τῆς προανυσθείσης δουλαγωγίας τοῦ σώματος πρὸς τὸ τοῖς ἄλλοις κηρύξαι καὶ τὸ ὑμέτερον δόκιμον ὑπὲρ χρυσίον ἐκλάμψειεν. μὴ δὴ μόνοι σωθῆναι τὴν ἱκετείαν πρὸς τὸ θεῖον ποιεῖσθαι βιάζεσθε, μηδὲ τῷ μονοτρόπῳ τοῦ βίου τὸ καθ' ἑαυτοὺς ζητεῖν, ἀλλὰ τὸ πάντας τῆς σωτηρίας τυχεῖν ἐπισπεύδοιτε. νύμφην ὡραιοτάτην τὴν ἐκκλησίαν ἡγεῖσθαι ἁρμόδιον τῷ μαργαρίτῃ μὲν τῶν ὀρθῶν καὶ ἀθολώτων δογμάτων τὸ εὐήκοον οὖς περισφίγγουσαν, τῷ στεφάνῳ δὲ τῶν χαρίτων ὡς ὑπερτίμοις λίθοις τοῖς πατρικοῖς λογίοις καταυγαζομένῳ τὴν κορυφὴν περιστέλλουσαν, κόσμον δὲ τὸν ἐν στέρνοις ἅτε μηνίσκῳ παγχρύσῳ τῷ ἑπταρίθμῳ τῶν θεοπνεύστων συνόδων ὅρῳ τῷ ἑαυτῆς αὐχένι μυστικῶς ἀναρτήσασαν, ἔσωθέν τε τὴν δόξαν πᾶσαν περιβεβλημένην καὶ εὐαγγελικῶς πεποικιλμένην τοῖς ἱεροῖς καὶ σεμνοῖς ἐκτυπώμασι. μὴ πορνικός τις τὸν τρόπον ταύτην μνηστεύσηται, αἱρετικῆς ἐν αὐτῇ γονῆς ἐπισπείρων ζιζάνια καὶ τὸ κάλλος τῶν αὐτῆς γνησίων καὶ τέκνων νοθεύσειεν, μηδὲ τῷ ἡμέρῳ κωδίῳ τὴν ὑγιᾶ πίστιν ὑποκρινόμενος, τὸν ἔνδοθεν λύκον

9 ἀπαναίνεσθαι δεῖ τὴν?

Digitized by Google

τῆς ἀπιστίας γυμνώσειεν καὶ πρὸς ὄρη καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύριος, τὴν ποίμνην ἐξώσειεν. ἔχων οὖν τὸν τοῦ θεοῦ ἀμνὸν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν πρὸς ποιμαντικὴν ἐπιστήμην συνέριθον, καὶ βακτηρίαν τὸν αὐτοῦ σταυρὸν πρὸς ὀρθοτομίαν τὴν ποίμνην ἐρείδουσαν, μὴ ἀποτρέπου τὴν κλῆσιν μηδὲ τὸν ἱκέσιον ἡμῶν λόγον ἐλέγξῃς, μή σοι πρὸς θεὸν μήνιμα γένηται.

Ὁ δὲ ταῖς βασιλέως ὑποθήκαις, οἷα βολίσιν ἐκ καρδίας πεμφθείσαις τυπεὶς τὴν διάνοιαν ἔφη· ἀλλ' ἐμοί, φησίν, ὦ βασιλεῦ, ποίμνης ἐπιστατεῖν λογικῆς ἐκεῖνος ἄξιος κατα- φαίνεται, ᾧ μηδὲν τῇ γῇ καὶ αὐτῷ προσῳκείωται, αὐτῶν δὲ τῶν οὐρανίων ἀψίδων μηδεμιᾶς καταπτώσης σαρκικῆς ὕλης πόθος ἀπλανὴς ἐντέτηκεν ἐπιλήψεσθαι, ὃς μὴ ταῖς προφητικῶς ἀπειλουμέναις ἀραῖς κατὰ τῶν ποιμένων ἐδείχθη ὑπεύθυνος, ὃς τῇ τοῦ ἀρχιποίμενος καὶ μόνου ἀρχιερέως Χριστοῦ μιμήσει ὑπὲρ τῆς ποίμνης τὴν ἑαυτοῦ ψυχὴν προήσεσθαι πρόθυμος, ὃς μὴ πρὸς τὸ θύειν καὶ ἀπολλύειν κλοπιμαίοις διδασκαλίαις διὰ τῆς παραθύρου τῇ μάνδρᾳ τῆς ἐκκλησίας ἐπέρχεται, πρὸς τὸ ζωοῦν δὲ καὶ σώζειν καὶ ἐν τοῖς τῆς πίστεως σηκοῖς ἐγκισσᾷν τὰ θρέμματα μεμελέτηκεν, ὃς πρὸς πᾶν ἦθός τε καὶ βῆμα καὶ βλέμμα καὶ ἐπιτήδευμα τῶν ποιμαινομένων μερίζεται καὶ πρὸς τὴν ἑκάστου θεραπείαν ποιμαντικαῖς φροντίσι ποικίλλεται, τῇ μὲν βακτηρίᾳ τὸ πλεῖον διδοὺς ἐπαναγούσῃ καὶ ὑπερειδούσῃ τοῦ πτώματος, ὀλίγα δὲ τῇ ῥάβδῳ προσχρώμενος ἁπλήγως πληττούσῃ καὶ πάσης ἀντιπαθείας τηρούσῃ τὸν νοῦν ἀπαράτρωτον. πρὸς τοῦτον ἀπαράσκευος τυγχάνων ἐγὼ τὸν πόλεμον, ἐμαυτὸν καθεῖναι οὐ βούλομαι πρὸς ἀοράτους καὶ ἀδιαλλάκτους καὶ ἀδιαλείπτως παρατεταγμένους ὁπλίτας. σὰρξ ὑπάρχων ὅπλα πνευματικὰ κινεῖν οὐχ ἱκανῶμαι, ὧν, εἰ καὶ πάντοθεν ἑαυτόν τις ὅση δύναμις ἀσφαλίσαιτο, τὴν ἔφοδον λαθεῖν οὐ δυνήσεται.

11 προσοικείωται V *corr. vulg.*

Digitized by Google

Ὁ δὲ δὴ βασιλεὺς πρὸς αὐτὸν ὑποβλήδην ἠμείβετο· μηδείς σοι πρὸς ἀφηνιασμὸν τῆς ἱερᾶς Χριστοῦ ζεύγλης ἀντιλογίας ἔστω λόγος ἢ πρόφασις· αὐτὸς γάρ, ὡς ἔφθην εἰπών, ὁ λόγος ἐπαμύνων συμποιμανεῖ καὶ συμπροθυμηθήσεται, καὶ πᾶσαν ὑμῖν πρὸς τὰ δοκοῦντα τέως δυσχερῆ παρέξει εὐμάρειαν. πείθεται τούτοις ὁ πᾶσιν ἀεὶ τοῖς θείοις πειθαρχήσας οὐχ ἥκιστα, καὶ τὸ μὲν σχῆμα τοῦ λαϊκοῦ πρὸς τὴν τοῦ μονήρους μεταμεῖψαι ἀγγελοειδῆ πολιτείαν τὸν βασιλέα εὐθὺς παρῃτήσατο, τῇ ἀκριβείᾳ τὴν ἀκρίβειαν καὶ τοῖς καλῶς προδιανυσθεῖσι πόνοις ἐπιπονωτέραν προστιθεὶς τελειότητα. ὁ δὲ καὶ κατένευσε καὶ τὰ τῆς ἱερᾶς ἐκείνης κεφαλῆς ἀποκάρματα ταῖς τοῦ υἱοῦ καὶ συμβασιλέως χερσὶν, ὡς τῆς περικειμένης αὐτοῖς ἁλουργίδος σεμνολογήματα, ὑποδεχθῆναι σοφῶς ἐδικαίωσεν· ἔδει γὰρ τὴν ἐξ ἀκρότητος τῶν θείων ἀρετῶν τραφεῖσαν κόμην ταῖς πρώταις τῶν ἀξίων δορυφορεῖσθαι ἀκρότησι καὶ τῷ πρὸς ἀρχιερατικὴν ἐπανιέναι μέλλοντι δόξαν τῇ ὑπερανεστηκυίᾳ δόξῃ λαμπρύνεσθαι. τῆς οὖν θείας ἐπ' αὐτῷ τελετῆς τοῦ μοναχοῦ προβάσης κατὰ τὸν ἱεροτελεστὴν καὶ σοφὸν Διονύσιον, καὶ τῆς ἱερατικῆς κατὰ βαθμὸν καὶ τάξιν προελθούσης κατὰ τὸν ἱερὸν θεσμὸν τελειώσεως, τούτοις ἤδη καὶ ἡ τῆς ἀρχιερατικῆς ἁγιαστείας ἐπηκολούθησε διακόσμησις· πηνίκα δὲ καὶ πῶς, λέξων ἔρχομαι.

Ἡνίκα γὰρ βασιλεύς τε καὶ ἡ περὶ τὰ βασίλεια σύγκλητος ἐν τῷ μεγίστῳ νεῷ παρῆν τὰ τῆς φρικτῆς ἀναστάσεως ἐπιτελέσοντες ὄργια, ἡνίκα τὸν ἱερὸν χῶρον ἐκεῖνον ἡ χρυσήλιος φωτοχυσία δαψιλῶς σελαγίζουσα τῆς ἐλπιζομένης ἀδιαδόχου λαμπρότητος τὰς μαρμαρυγὰς ὑπεκήρυττεν, ἡνίκα πᾶς ὁ τῆς ἐκκλησίας λευχειμονῶν συνέρρεεν ὅμιλος· τότε δὴ τότε τόν τῆς πίστεως ὑπ' αὐτοῦ προταγέντα καὶ διομολογηθέντα καρδίᾳ καὶ στόματι, εἶτά τε καὶ τῷ κατ' αὐτὸν κλήρῳ προσφωνηθέντα θεῖον τόμον χερσὶν ἐπειλημμένος ἐπὶ τὴν θείαν χειρο- 12. April a. 806

21 ἁγιαστίας V *corr. vulg.* 26 σελαυγίζουσα V *corr. vulg.*

Digitized by Google

θεσίαν ἴετο· τοῦτον ἀπαρέγγραπτον ἐπιβοώμενος μάρτυρα, εἰ παρατρώσαι τι τῶν ἐν αὐτῷ σεσημασμένων, ἀλλὰ μετὰ ταύτης τῆς ἀληθινῆς καὶ εἰλικρινοῦς λατρείας ἐν τῇ φοβερᾷ καὶ ἐνδόξῳ ἐλεύσει τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν παραστῆναι· ὃν καὶ μετὰ τὴν τελεσιουργὸν ἐπ' αὐτῷ μυσταγωγίαν ἔνερθε τῆς ἱερᾶς τραπέζης ἀπεθησαύρισε καθαγιασθησόμενον καὶ παρὰ θεῷ τὸ βέβαιον εἰς ἀποδοχὴν κληρωσόμενον. τῆς οὖν ἱερᾶς τελετῆς ἐπιπνοίᾳ θείᾳ τὴν περαίωσιν εἰληφυίας, ὁ λαὸς τήν, "ἄξιος ἐπὶ τῷ ἀξίῳ", κατ' ἀξίαν φωνὴν τρισσῶς ὑπεκρίνατο. ἔνθεν ἐπὶ τὴν ἱερὰν τοῦ θρόνου περιωπὴν, ὡς ἐπί τινα σκοπιὰν ὑπερτάτην, ἣν καὶ θείαν φυλακὴν ὁ θαυμάσιος Ἀμβακοὺμ νοερῶς ὑπεμήνυεν, ἀναβὰς καὶ τῷ λαῷ παντὶ τὸ τῆς εἰρήνης ἐπιφθεγξάμενος ἀγαθὸν καὶ ἀντιλαβὼν ἐπὶ τὰ ἑξῆς τῆς θείας ἱεροθυσίας αὐτουργὸς αὐτὸς ἀπεδείκνυτο.

Οὕτω θεός, ὁ τοῖς ταπεινοῖς ἐπιμετρῶν χάριν, ὡς ἐραστῇ καὶ αὐτῷ πνευματικῆς ἀναβάσεως τῶν τῆς ἐκκλησίας ὑψέων ἐπιλαβέσθαι οὐχ ἥκιστα κέκρικεν, ὧν κρατήσας καὶ ἀξίως τοῦ εὐαγγελίου ἐποικοδομεῖν αὐτοῖς ἐναρξάμενος, τῇ τῆς πίστεως κρηπίδι τὸ ἀσφαλὲς διετήρησεν. ἐν ἀστασιάστῳ γὰρ τὴν ἐκκλησίαν εὑρὼν καταστήματι ἐκ τοῦ προκαταλεανθῆναι τὰ τῆς αἱρέσεως σκώμματα ὑπὸ τῆς, ὡς εἴρηται, πατρικῆς ὁμηγύρεως, ἐν ἀκυμάντῳ λοιπὸν γαλήνῃ καὶ αὐτὸς τὸ τῆς ἐκκλησίας διέφερεν πέλαγος, μηδεμίαν κατ' αὐτῆς αἱρετικὴν ἀντίπνοιαν ὑφορώμενος. ὅθεν ἐφ' ἑτέραν ὁδὸν αὐτὸν ὁ ζῆλος ἐκίνει κατὰ τῶν ἀπίστων τραπέσθαι καὶ ἀλλοκότων αἱρέσεων ἄρτι τότε τῆς ἑαυτῶν ἐμβροντησίας ἀπηρυθριασμένως τὰ πλήρη μύσους ἐπιτελούντων μυστήρια, Ἰουδαίους τέ φημι καὶ Φρύγας, καὶ τοὺς ἐκ τῆς τοῦ Μάνεντος τερθρείας τὸν τῆς ἀπιστίας κυκεῶνα προπίνοντας. διεξοδικώτερον τοιγαροῦν τὰ τῆς αὐτῶν ἀτόπου θρησκείας δι' ἐγγράφου τόμου τῷ βασιλεῖ γνώριμα καταστήσας καὶ ὡς τῷ κοινῷ παντὶ γαγγραίνης δίκην λώβην παρέξοντα, εἰ ἐπὶ πλεῖον

Digitized by Google

συγχωρηθεῖεν πράττειν, ἃ βούλοιντο, δι' ἐντεύξεως ἐνδειξάμενος, βάλλει μὲν τὴν Ἰουδαϊκὴν κυριοκτονίαν, βάλλει δὲ καὶ τὴν τῶν Φρυγῶν τερατώδη ἐρεσχελίαν, τιτρώσκει δὲ τὴν Μανιχαϊκὴν ὀνείρωξιν, ὡς μηδὲ χειλέων ἐκτὸς τὰ ἑαυτῶν ἄγη προέρχεσθαι, ἐν ἀπορρήτῳ δὲ καὶ παραβύστῳ τὰ τῆς ἀπάτης αὐτῶν ὑπολαλεῖσθαι ληρήματα. τὸ γὰρ παρρησιάζεσθαι ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένοι εἰς τὸ μηδὲ λαθραίως τι ποιεῖν οἱ δυσσεβεῖς περιέστησαν.

Οὕτω τῶν ἀθέσμων αἱρέσεων κατὰ μικρὸν ὑπελώφα κλυδώνιον, καὶ ἡ ὀρθοτομία τῆς ἀληθοῦς ὁμολογίας ἡμῶν εἰλικρινῶς αἰθριάζουσα σαββατισμὸν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ὑπέγραφεν. ἀλλ' ἐπειδὴ τὰ τῶν ἔξω καλῶς εἶχεν αὐτῷ, ἐπὶ τὰ ἔνδον, λέγω δὴ τὰ τῆς μοναχικῆς ἀκριβείας, τὸν νοῦν μετατίθησιν. ἄνδρες γὰρ τὸν οὐρανομήκη βίον τοῦτον ἑλόμενοι ἢ καὶ ἑλέσθαι εὐξάμενοι, προφάσει δῆθεν ἀγχιστείας ἢ καὶ τῆς ἄλλης τῶν ὀνομάτων εὐνοίας ἄγχι πῃ τῶν παρθενώνων τὰ ἑαυτῶν καταπηγνύναι δεῖν ᾠήθησαν ἀσκητήρια, τὴν μὲν πρόδηλον συνοίκησιν φεύγοντες, τὴν ἐκ τῶν λογισμῶν δὲ συγκατάθεσιν διαδρᾶναι παντελῶς οὐ δυνάμενοι. ἦν γὰρ αὐτοῖς πάντα κοινὰ καὶ κτήματα καὶ ὑπάρξεις, ἐναντίως ἢ τὸ περὶ τῶν πιστευόντων πάλαι λεγόμενον. ἐκείνοις μὲν γὰρ ἐν τῷ καλῶς ἀποκτᾶσθαι τὰ ὄντα τὸ κοινὸν προτετίμητο, ἐνταῦθα δὲ τῷ τὰ πάντα κακῶς κοινοῦσθαι τὸ μὴ ἀποκτᾶσθαι καλῶς πεπραγμάτευτο· καὶ ἦν σύγχυσίς τις τοῦ ὑψηλοτάτου βίου, καὶ πᾶς ὅστις ἐν ὑποψίᾳ πορνείας τὸ τῆς παρθενίας εἶχεν ἐπάγγελμα. τοῦτο σκοπῶν ἐκεῖνος ὁ καθαρώτατος νοῦς οὐδεμίαν παράτασιν χρονικὴν ὑπέμεινεν, ἢ τῷ πτώματι ἐνδέδωκε παντελεῖ περιπαρῆναι κηλίδα καὶ ἐξοκεῖλαι πρὸς ἡδυπαθείας ἐμπάθειαν. ἀλλὰ τῇ ἀποστολικῇ αὐθεντίᾳ χρησάμενος τοὺς ἐπὶ φυλακῇ ταύτης ὁρῶντας καὶ τὸν Φινεὲς ζῆλον ἐγκάρδιον ἔχοντας ἀρχιερεῖς ἀπολεξάμενος,

30 αὐθεντείᾳ V *corr. vulg.*

Digitized by Google

ὡς ἐπὶ δεύτερον ἐξαπέστειλε κήρυγμα, τὸ τοῦ πάθους ἐκκεντῆσαι μύσος τῷ κανονικῷ σειρομάστῃ, καὶ στῆσαι τὴν θραῦσιν διὰ τῆς παραινετικῆς ἐξιλάσεως. οἱ δὲ κατὰ πάσης τῆς οὕτω νοσούσης οἰκουμένης γενόμενοι καὶ τοῖς σωτηρίοις φαρμάκοις εὐκαίρως χρησάμενοι τὸ τοῦ μώλωπος δυσαλθὲς εἰς συνούλωσιν συνελάσαι κατέσπευσαν, πόρρω μὲν ἀνδρῶν τὴν γυναικωνῖτιν δίαιταν ἀφορίσαντες καὶ ἀφθονίᾳ τῶν ἐπιτηδείων ἐπιτειχίσαντες, ὡς ἂν μὴ τῇ τούτων ἐνδείᾳ πιέζοιντο καὶ ἀκολασίας ὑπόμνημα δέχοιντο καὶ γένοιτο τὰ ἔσχατα χείρω τῆς πρώτης αὐτῶν συναλίσεως. πρὸς δὲ τὰ ἑαυτῶν ἤθη τε καὶ ἀσκητήρια, μᾶλλον δὲ πρὸς τὰ τῆς ἑκάστου ψυχῆς αἰσθητήρια τοὺς ἄνδρας ἀπέκριναν καὶ προτροπάδην φεύγειν ὡς ἐκ δήξεως ὄφεως τὴν τῶν γυναικῶν κατέπεισαν συνδιαίτησιν, μήπως διὰ τῆς τῶν λογισμῶν θυρίδος ἡ τῶν ἡδονῶν συγκατάθεσις παρακύψασα βέλος ἐπαφήσοι καὶ τρῶσιν ψυχικὴν ἐνεργάσοιτο. οὕτω τῆς ἱερᾶς τῶν μονοτρόπων ἀγέλης οἱ τῆς σωφροσύνης κτίλοι ἐμμελῶς ἡγησάμενοι, τὰ ψυχοκερδῆ τῆς ἐργασίας αὐτῶν ἐμπορεύματα σὺν ἐπαινουμένῳ τόκῳ πρὸς τὸν ἀρχιποίμενα διεσώσαντο.

Ἀλλὰ δὴ καὶ εἰς πᾶσαν ἥντινα οὖν καὶ πόλιν καὶ χώραν, εἰ ταυτηνὶ τὴν νόσον ἀκμάζουσαν εὕρισκεν, καλάμῳ καὶ μέλανι τὴν θεραπείαν αὐτῆς κεραννὺς ἐπραγματεύετο. ὁποῖόν τι καὶ καθ' ἓν τῶν Ταυρικῶν κλιμάτων πεπραχὼς ἀναφαίνεται· ὁ γὰρ τὴν τότε τοῦ ἔθνους ἡγεμονίαν ἐπανηρημένος, τῷ αἴσχει τούτῳ καταποθείς, ἐπ' εἰσαγωγῇ τινος ἑταίρας τῆς ἑαυτοῦ συζύγου διάστασιν ἐμελέτησεν· ὃν ἀποσμῆξαι τοῦ ἐπιψόγου μολύσματος ἔργον θέμενος, γραφικαῖς ὑποθήκαις τε καὶ ἀπειλαῖς κατὰ πρόσωπον αὐτῷ τὴν ἁμαρτίαν παρέστησεν, καὶ ὡς εἰ μὴ βούλοιτο ταύτης ἀποσχέσθαι ἐκείναις ὑπόδικος ἐνδίκως γενήσοιτο. καὶ ταῦτα μὲν οὕτω πῃ ἔσχεν.

Ἐπειδὴ δὲ τὸ εἰλικρινὲς τῆς ἑαυτοῦ ὀρθοτόμου πίστεως

5 δυσαλθὲς *scr. e coni.* δυσανθὲς V δύσαντες *vulg.*
30 γενήσαιτο V *corr. vulg.*

τοῖς τῶν πατέρων ὅροις ἀκριβοῦν κατηπείγετο, τῷ τε κανονικῷ καὶ ἀρχαϊκῷ ἔθει ἀκολούθως ἑπόμενος, τῷ τοῖς ἀποστολικοῖς θρόνοις τὰ περὶ τὴν πίστιν ἀνακοινοῦσθαι κελεύοντι, ταύτην συνοδικοῖς ἐνσημηνάμενος καὶ πιστωσάμενος γράμμασι πρὸς τὸν τηνικαῦτα τῆς Ῥωμαίων πάπαν ἐκπέπομφε Λέοντα, στηλίτευμα μὲν τῶν ἑτεροδόξων οὖσαν αἱρέσεων, στήλην δὲ τῆς ὀρθοδόξου ὑπάρχουσαν πίστεως. καὶ εἴ τῳ φίλον τῆς τοῦ λόγου δυνάμεως τοῦ ἀνδρὸς πεῖραν λαβεῖν, ἐντευξάσθω ταύτης, καὶ εἴσεται τὸ περὶ τὰ θεῖα δόγματα τούτου δαψιλές τε καὶ καίριον. ταῦτα καὶ ὁ ἱερὸς ἐκεῖνος ἠγάσατο Λέων, καὶ ἀσμενέστατα δεξάμενος καὶ περιπτυξάμενος σὺν τοῖς κορυφαίοις Πέτρου δόγμασιν ἀνεκήρυξε τρανότατα. τὸ γὰρ τῆς ὁμοουσίου τριάδος συμφυὲς καὶ ὁμότιμον οὕτως ἐν αὐτοῖς ἀνεῖπε λευκότατα, ὡς τῇ τῶν ἐν Θεολογίᾳ τὸ κράτος ἐχόντων ἀκριβείᾳ μηδὲν ἀπολείπεσθαι. τήν τε τοῦ ἑνὸς τῆς ἁγίας τριάδος ἐπ' ἐσχάτων τῶν χρόνων φανέρωσιν ἐκ τῆς πανάγνου καὶ ἀμώμου παρθένου καὶ Θεοτόκου Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν οὕτω διεσάφησέ τε καὶ ἀνεκήρυξε ταῖς οἰκουμενικαῖς συνόδοις ἑπόμενος, ὡς μηδὲν τῶν εἰς λατρείας ἡκόντων σεβασμιότητα ὑπάρχειν ἀνήκοον. τάς τε πρὸς Θεὸν ἐντεύξεις καὶ πρεσβείας τῆς τε σεμνῆς Θεομήτορος τῶν τε οὐρανίων δυνάμεων ἀποστόλων προφητῶν κλεινῶν τε μαρτύρων καὶ πάντων ὁσίων καὶ δικαίων καὶ τὰ τούτων προσκυνητὰ λείψανα τούς τε ἱεροὺς αὐτῶν χαρακτῆρας ἐπὶ τοσούτῳ τιμῆς ἀξίους ἀπέφηνεν, ὅσῳ δίκαιον ἦν τοὺς οὕτω βιώσαντας καὶ οὕτω παρὰ Θεῷ θαυμαστωθέντας καὶ τιμᾶσθαι καὶ μεγαλύνεσθαι. οὕτω τὸ ἐν πνεύματι καὶ ἀληθείᾳ μόνῳ λατρεύειν Θεῷ τῷ ἀληθινῷ προσκυνητῇ ἀραρότως κατώρθωτο, οὕτω τὸ περὶ τὴν ὑγιᾶ θρησκείαν αὐτῷ διειδέστατον πόμα κεκέραστο, οὐ καθά τισι κεραποικιλλόμενον ταῖς δὲ θεοπαραδότοις ὑποτυπώσεσι κερανύμενον καὶ

14 ἂν εἶπε V 18 διεσάφισε V *corr. vulg.*



Digitized by Google

πᾶσαν ἀνατροπὴν αἱρέσεως θολερᾶς τῷ πλησίον βλαστάνουσαν ἐξιώμενον. ἆρ' οὖν ὁμολογίᾳ μόνῃ ψιλῇ τὸ τῆς ἀληθοῦς πίστεως ὁ μέγας οὗτος διετράνου κεφάλαιον; οὐχὶ δὲ καὶ ζῆλος τῇ ὁμολογίᾳ προσῆν; ἢ τοῦτο μὲν ἀναμφίλεκτον, κινδύνων δὲ ταύτην χωρὶς διεσώσατο; ἢ τούτοις ὡς ἀδάμας ἐστόμωτο, ὑποστολῇ δὲ τοῦ λέγειν τὸ μὴ εὐδοκεῖσθαι παρὰ θεῷ προτετίμηκεν; οὐ μὲν οὖν, ἀλλὰ σὺν ὁμολογίᾳ καὶ ζήλῳ καὶ κινδύνοις λόγος αὐτῷ βιωφελὴς μαχαίρας τομώτερος ταῖς φρεσὶν ἀπηώρητο, τῶν τὰ θεῖα τυραννεῖν ᾠρημένων ἐκκόπτων ἐπιεικῶς τὰ φρονήματα.

Ταῦτα σκοπῶν ὁ τοῖς καλοῖς ἀεὶ βασκαίνων ἀντίπαλος, ὁ τοῖς καθεστῶσι ζάλην ἐπινοῶν πολυκλύδωνα, ὁ τῇ γαλήνῃ καὶ τῇ τῆς εἰρήνης εὐσταθείᾳ ἔχθραν ἐπιμετρῶν ἀκατάλλακτον, ὁ τῷ τῆς πίστεως ἀρραγεῖ χιτῶνι παρυφαίνων τὰ τῶν αἱρέσεων ὑπόσαθρα ῥάκια, οὐκ ἐβουλήθη τὸ ᾠρεμαῖον τῆς ἐκκλησίας καὶ βασιλείας ἐν ἀταραξίᾳ καθορᾶν ἰθυνόμενον, ἀλλ' ἀταξίαν ἐπινοήσας τῷ ἑαυτοῦ θράσει ἀντίρροπον, ἀκήρυκτον κατ' ἄμφω κεκίνηκε πόλεμον· οὐ βέλη χαλκεύσας ἠκονημένα καὶ φάσγανα, ὡς τοῖς ἀντιτεττομένοις ἔθος πρὸς σώματα, γλώσσας δὲ πονηρὰ μελετᾷν εἰδυίας τῇ τῆς αὐτοῦ κακίας ἀκόνῃ παραθήξας πρὸς ψυχικῶν κινδύνων παράταξιν διανίστησι, βασιλέα μὲν ἄρτι τῇ τυραννίδι γαυρούμενον εἰσ-
a. 81 ποιησάμενος Λέοντα· Λέοντα τὸν τῇ ποικιλίᾳ τῆς ἀσεβείας φανέντα πολυειδῆ χαμαιλέοντα, τὸν ἐξ αὐτῆς ἀναρρήσεως ἀποβαλόντα τὸν λογισμὸν, ⟨τὸν⟩ τοὺς βελτίονας πρὸς τὸ τῆς δυσσεβείας μεταταξάμενον φρόνημα, τὸν ὅσον ἐπὶ τῷ γένει τὸν παλαιὸν Ἰσραὴλ ἐπὶ Μωϋσέως ἐκθλίψαντα νυνὶ δὲ Ἀμαληκιτῶν δεινότερα τῷ νέῳ Ἰσραὴλ ἐνδειξάμενον, τὸν τοῦ Σενναχηρεὶμ ὠμότερον καὶ Ῥαψάκου βδελυρώτερον καὶ Ναβουζαρδὰν τοῦ γαστριδούλου αἰσχρότερον.

Ὃς κατὰ τοῦ τετιμηκότος αὐτοκράτορος (καὶ γὰρ ὑπ'

15 ῥάκκια V *corr. vulg.* 25 τὸν *add. vulg.* 26 μεταταξάμενος V *corr. vulg.* 29 Ῥαμψάκου V *cf.* Esai. cp. 36, 2

αὐτοῦ δημαγωγὸς τοῦ πρώτου καταλόγου τῆς στρατιωτικῆς τῶν λεγομένων θεμάτων καθίστατο φάλαγγος), εἰς οὐδὲν τὴν τιμὴν καὶ τὸν τιμήσαντα θέμενος πρὸς τυραννίδος ἐξέπεσεν ὅλισθον. πρὸς γὰρ τοὺς ἐπὶ Θρᾴκην Οὔννους πολλὴν τὰ ἐκείνῃ πολίσματα τὴν βλάβην εἰσφέροντας πόλεμος τῷ βασιλεῖ συγκεκρότητο, ἐν ᾧ τῆς ἥττης Λέων πρωτεργάτης γενόμενος παντὶ τῷ στρατοπέδῳ τὴν μετ' αἰσχύνης φυγὴν ἐμαιεύσατο. ὅθεν τὸν μὲν βασιλέα ἡ πόλις εἶχε μηδὲν τῶν ἐκ τῆς νίκης καλῶν ἀπονάμενον· αὐτὸς δὲ λόγοις ἀνταρσίας τὸν λαὸν ὑποφθείρας καὶ κεναῖς ἐλπίσιν ὑποσυλήσας καὶ ὠφελόμενος διὰ τυραννίδος ὑπέδυ τὸ τῆς βασιλείας ἀξίωμα. μεθ' οὗ τάχει πολλῷ τὴν βασιλίδα καταλαβὼν καὶ εἴσω τειχῶν (ὡς μὴ ὤφελεν) ὁ τάλας γενόμενος, ταῖς ἐξ ἔθους τιμαῖς διὰ τῆς λεωφόρου πρὸς τὴν βασίλειον αὐλὴν προεπέμπετο, καὶ τὸν μὲν πρὸ αὐτοῦ τῆς ἀξίας ἀπέπαυσεν ἄνδρα τῷ ἁπλοϊκῷ τῆς ἀκακίας ὑπὲρ τὴν πορφυρίδα κοσμούμενον· ὃς ἡνίκα τὸν ἀγνώμονα Λέοντα ἐπωρυόμενον ᾔσθετο καὶ κατὰ τῆς ἀρχῆς λεόντειον βρέμοντα, τὴν τῆς βασιλείας ἐσθῆτα περιρρηξάμενος καὶ τὴν κόμην ἀποθριξάμενος μελανείμων ἀντὶ χρυσείμονος γίνεται καὶ τῷ ἱερῷ περιβόλῳ σὺν γυναικὶ καὶ τέκνοις φέρων ἑαυτὸν ἐγκαθείργνυσι. τοῦτο τὸν Λέοντα ὀψὲ καὶ μόλις ἐπέκλινε τοῦ μὴ κατ' αὐτὸν χωρῆσαι ὠμότατα· ὑπερορίᾳ δὲ θᾶττον ἢ λόγος παραπεμψάμενος αὐτὸς διὰ σπουδῆς εἶχε τῇ κεφαλῇ τὸ βασίλειον περιθεῖναι διάδημα.

Ταύτης οὖν τῆς συμφορᾶς ὁ Θεοφόρος Νικηφόρος αἰσθόμενος καὶ τὸ πολύγνωμον καὶ πολυκλινὲς τοῦ ἀνδρὸς ἐννοούμενος ταῖς ἐξ ἔθους ἐγγράφοις τῆς πίστεως ὑπαγαγεῖν αὐτὸν ὁμολογίαις ἐσκόπει· καὶ δὴ τόμον συντάξας τὸ τῆς ἀμωμήτου λατρείας ἡμῶν περιέχοντα σύμβολον ὑποσημήνασθαι χερσὶν οἰκείαις διά τινων ἀρχιερέων τὸν βασιλέα προέτρεπεν. ὁ δὲ μάλιστα μὲν τοῖς λεγομένοις κατένευεν, ὑπερετίθετο δὲ τοῦτο ποιεῖν, μέχρις ἂν ἡ τοῦ διαδήματος ἐπ'



Digitized by Google

αὐτὸν ἀναβαίη τιμή, ἐπὰν δὲ τύχοι ταύτης, τοῖς ἐκκλησιαστικοῖς ζυγοῖς ἑαυτὸν ὑποκλίνειν ἕτοιμον εἶναι. ὁ δέ γε τῷ τῆς συνειδήσεως κέντρῳ καὶ ζόφῳ νυττόμενος, καὶ τούτοις οἷα μέλανι καὶ καλάμῳ κακῶς ἀποχρώμενος, ἐν τῷ τῆς αἱρέσεως καὶ πρὸ τοῦ διαδήματος καθυπέγραφε πίνακι, ὅλον ἑαυτὸν ἐμπαρέχων τοῖς ἄγουσι δαίμοσιν, ἢ τοῖς πρὸς σωτηρίαν ὁδηγεῖν ἐσπουδακόσι πατράσι πειθόμενος.

Ἦκεν οὖν ἐπὶ τὸ τῆς Σοφίας ἱερὸν ἀναληψόμενος τὸ διάδημα. τότε δὴ τότε αὐτουργῷ τῆς ἀναρρήσεως τῷ μεγάλῳ ἀρχιερεῖ τυγχάνειν μέλλοντι, ὁ τὰ ἔμπροσθεν ποιῶν βλέπειν ἀκοίμητος ὀφθαλμός, καὶ τὰ κατ' αὐτὸν τῷ δικαίῳ τεκμήρασθαι καλῶς ἐδικαίωσεν. ἐδόκει γὰρ ὁ ἅγιος μετὰ τὴν τῆς εὐχῆς ἐπίκλησιν καὶ τὴν τοῦ στεφάνου ἀνάληψιν, ἡνίκα ψαύειν τῆς κορυφῆς τοῦ τελουμένου καιρὸς ἦν, ὡς εἰς ἀκάνθας καὶ τριβόλους ἐρεῖσαι τὴν χεῖρα καὶ οὕτως τὸν στέφανον ἐπαφεῖναι, ὥστε καὶ ὀδύνης ἐπαισθάνεσθαι διωμολόγει τρανότατα. τὴν γὰρ ὅσον οὐκ ἤδη ἄθεσμον αὐτοῦ κατὰ τῆς ἐκκλησίας τραχύτητα προσρήγνυσθαι μέλλουσαν ἡ ἀκανθοπλὴξ ἐκείνη κορυφὴ τῇ τοῦ ἁγίου ἐπαφῇ προμαντεύεται.

Ἀλλ' ὤχετο τὴν κάραν τῷ βασιλείῳ στεφάνῳ δεσμούμενος, ἐν ᾗ καὶ τὴν ἐσχάτην ὑπέδυ ἐνδίκως πληγήν, ἐπεὶ τῶν ἐνδίκων ὑπερόπτης γεγένητο. δευτέρᾳ τοίνυν τῆς βασιλείας ἡμέρᾳ καὶ αὖθις ὁ Θεοφόρος τῷ τῆς ὀρθοδοξίας τόμῳ τὸν ἀρτιφανῆ βασιλέα κατήπειγεν ἐνσημήνασθαι, ὁ δὲ κραταιῶς ἀπηρνεῖτο. τῷ γὰρ ψεύδει τὴν πορφυρίδα χρώσας καὶ τὸ Πρωτέως προσωπεῖον ἐμμαξάμενος ἀλλοπρόσαλλος τοῖς ἐντευξομένοις ἐφαίνετο. ὦ τῆς δεισιδαίμονος ἐκείνης ψυχῆς, δι' ἧς ἡ τῆς πίστεως δονεῖται κρηπίς. ὦ τῆς ἀκαθέκτου περιπλανήσεως τῶν ἐκείνου φρενῶν, ὑφ' ὧν τὸ τῆς ὀρθῆς ὁμολογίας παραλελόγισται φρόνημα. ὦ τῆς τοῦ ψεύδους πολυσχιδοῦς ἐμπλοκῆς, δι' ἧς τὸ τῶν ὀρθῶν δογμάτων ἀποίκιλον συμποδίζεται. οὐ γὰρ πρὸς ἀντιπάλους, οὐ πρὸς ἐχθροὺς τηνικάδε τῇ πόλει περιθέντας χαράκωμα ὁ πρῶτος ἀγὼν αὐτῷ

Digitized by Google

γίνεται, κατ' αὐτοῦ δὲ τοῦ τὰς ἡνίας τῆς ἐξουσίας οἷς οἶδε κρίμασι δόντος τὴν παράταξιν ἐγχειρίζεται. τῶν γὰρ ἐχθρῶν, ὡς φθάσας εἶπον, οὐδὲν ἢ ὀλίγα φροντίσας, ὡς οὐ συμμίξαι ἢ ἀντωπῆσαι πρὸς τούτους ἱκανωμένος διὰ τὴν πρόσθεν τῆς ἥττης αὐτουργηθεῖσαν παρ' αὐτοῦ μηχανορράφον ἐπίνοιαν, κατὰ τοῦ παμβασιλέως ἐχώρει τῶν ὅλων, πάντα κάλων καὶ κύβον ἐπανατείνων περιαιρεθῆναι τὸ αὐτοῦ τῆς ἐκκλησίας εἰκόνισμα. δέον γὰρ τὸ αἰδέσιμον εὐλαβηθῆναι τοῦ πράγματος, δέον τὸ τῆς παραδόσεως Ὠγύγιον ἐνστερνίσασθαι σέβας, δέον τῆς οὕτω θεοστιβοῦς ὁδοῦ ἐφ' ἧς τὰ τῶν ἁγίων ἴχνη προώδευσαν ἐπιμετρῆσαι τὸ βέβαιον, δέον ἐκπλαγῆναι τοῦ θεοφόρου ποιμένος τὴν ἔνστασιν· ὁ δὲ τῆς μανίας τὸν ὄφιν ὑπερεῖδεν, καὶ κατιωθεὶς τὴν φρένα τῷ δολίῳ φρονήματι, εἴχετο τοῦ βουλήματος. πάντα μὲν λόγον παλαιῶν ὡς ὁ δοῦλος ἐκεῖνος Ἱεροβοὰμ καὶ βουλὴν συνετῶν ἐξ αὐτῆς ἐντεύξεως τὸ χρήσιμον φέρουσαν ἀπωσάμενος, ἐπὶ δὲ νεωτέρων λογύδρια καὶ γραϊδων μυθάρια, οὐκ ἄνωθεν, ἀπὸ γῆς δὲ φθεγγομένων ἐτράπετο, χρόνων μήκη καὶ νίκας ἐπιμετροῦντα, εἰ τῇ ἀρχαίᾳ κατασάσει τὴν ἀσέβειαν ἐξεμέσειεν.

Ἄγεται τοίνυν ἐφ' ἑαυτῷ μέρος ὅσον ὑποπτώσει κανονικῇ τῆς ἱερᾶς λειτουργίας ἀνείργετο, ὅσον καὶ μὴ βουλόμενον ταῖς ὑπαγωγαῖς τῆς βίας ἐκάμπτετο, οἷς καὶ τόπον εἴσω τῶν βασιλείων ἀποκληρώσας καὶ τὸ πρὸς τρυφὴν συῶν δίκην ἀποτάξας αὐτοῖς σιτηρέσιον, νέαν πίστιν συντάττειν ὁ νεόφρων ἀποστάτης ἐκέλευσεν. οἱ δὲ τῷ βασιλείῳ θράσει ὡς ὁ μυθικὸς ἐκεῖνος Αἰγαίων γαυρούμενοι, σχεδὸν κατὰ πάσης ἐκκλησίας ὠμότατα θέοντες, βίβλους ἀνηρεύνων, τὰς δὲ ἀφῄρουν· καὶ τὰς μὲν κατ' εἰδώλων ἔστεργον ὡς συνηγορούσας αὐτῶν τῷ φρονήματι, τὰς δὲ ὑπὲρ εἰκόνων ἐπίμπρων ὡς ἐλεγχούσας αὐτῶν τὰ μυθεύματα.

Εἰσκαλεῖται δὲ καὶ τῶν ἐπισκόπων τοὺς πλείονας τῷ

4 ἱκανωμένως V *corr. vulg.* 9 ἐνστερνήσασθαι V *corr. vulg.* 10 ὑφ' ἧς V

νεωτεροποιῷ τούτῳ συνηγορήσοντας σκέμματι· οἵτινες ἡνίκα τοῖς ἀντιπέραν ἐπινείοις τοῦ Βυζαντίου προσήγγιζον οὐχ ἑκουσιότητι κατὰ τὸ κρατῆσαν ἔθος πρὸς τὸν ἀρχιποίμενα στέλλοντες ὡς αὐτὸν διεπορθμεύοντο· τὴν βασιλικὴν δὲ ῥοπὴν ἀντιστατοῦσαν ὑπαντιάζοντες καὶ βίᾳ δεσμούμενοι, πρὸς τὰς Ἐχέτου καὶ Φαλάριδος ποινὰς παρεπέμποντο· καὶ εἰ μὲν τὸ δοκοῦν ἐκείνοις ἐτίθεντο, λύσις τῶν δεινῶν ἐπηκολούθει καὶ ἄνεσις· εἰ δέ τις τῷ τῆς ἀληθείας κέντρῳ νυττόμενος πρὸς τὴν ἀσέβειαν ποσῶς ἀπεμάχετο, εἱρκταῖς καὶ λιμοῖς καὶ χθονίοις κατεκρίνετο δείμασιν, οὐδὲν τῶν τῆς Ἐμπούσης ἀνεκτότερον φαντασμάτων ὑπάρχοντα. οὕτω [τὸ] τοῦ δευτέρου Καϊάφα συνίστη τὸ βουλευτήριον, οὕτω τῆς Ἰαννοῦ καὶ Ἰαμβροῦ μεγαλορρημοσύνης κατὰ τοῦ νέου Μωϋσέως ἐπιτετήδευτο τὸ ἀγώνισμα, οὕτως ὁ τῆς ἱερωσύνης ἀστὴρ καὶ τῆς οἰκουμένης Νικηφόρος πατὴρ ὑπὸ τῶν τοῦ σκότους εὑρετῶν καὶ τοῦ Ἀντιχρίστου προστατῶν καὶ προδρόμων ἠθετητο. τῷ γὰρ διδασκάλῳ σιγὴν ἀπειλήσαντες τοῖς μηδὲ μαθητῶν βαθμὸν εἰληχόσι τὸ διδάσκειν ἐπ' ἐκκλησίαις προτρέπουσι· καὶ τὸν τοῦ λόγου χρυσόρρειθρον ποταμὸν κατὰ λόγον κωλύουσι φέρεσθαι, τοῖς δὲ βόθρον ἑαυτοῖς ἀπωλείας ὀρύξασι καὶ ὕδωρ σοφίας οὐκ ἔχουσιν ἐπιστημονικῶς τὴν ἐκκλησίαν ἄγειν οὐ φρίττουσι· τὸν ἀρχιερέα τῆς ἱερᾶς ἔχεσθαι τραπέζης ἀπείργουσι, καὶ οἷς μηδὲ εἰς οἶκον εἰσιέναι Θεοῦ θεμιτὸν τὰ τῶν ἁγίων ἐγχειρίζουσιν ἄδυτα· τοὺς τῆς ἐκκλησίας στύλους ᾗ δοκοῦσι σαλεύουσι, καὶ ἀντερείδειν τοῖς ἀνεμιαίοις καὶ ἀστάτοις αὐτῶν ταύτην αὐχοῦσι ληρήμασι.

Ταῦτα ὁ τοῦ Θεοῦ θεράπων Νικηφόρος θεώμενος πᾶσαν ἱκετηρίας ἰδέαν πρὸς Θεὸν ἐπενόει, ἀντιβολῶν καὶ πρὸς συμμαχίαν καλῶν τῇ μὲν ἐκκλησίᾳ διασώσασθαι τὸ ἀμώμητον, καὶ τὸ τοῦ ποιμνίου ἀκίβδηλον μὴ χρανθῆναι τοῖς

11 τὸ *uncis inclusi* οὕτω τὸ τοῦ δ. Κ. συνίστατο βουλευτήριον *vulg.* 18 ἐπ' ἐκκλησίας? 19 χρυσόρειθρον V 28 εἰδέαν V *corr. vulg.*

Digitized by Google

τῆς ἑτεροδοξίας μιαροῖς ἁλισγήμασι. διὰ τοῦτο πρὸς ἑαυτὸν πάντας εἵλκεν ἐνουθέτει παρεκάλει τῇ ζύμῃ μὴ συμφύρεσθαι τῶν αἱρετιζόντων ἀπέτρεπεν ὡς ἰὸν καὶ ὡς κύημα ἐχιδνῶν τὰ τῆς διδασκαλίας αὐτῶν ἀλλόφυλα προφεύγειν ἀμβλώματα. "οὐ γάρ", ἔλεγε, "σωματικὸν ἐπάγουσι μώλωπα φαρμάκοις ἰατρικῆς ὑπείκειν δυνάμενον· τοῖς τῆς ψυχῆς δὲ μυχοῖς ἐνιεῖσι τὸν κίνδυνον, τὴν ἐξ ἐπιπολῆς ἀναινόμενα μότωσιν. μὴ τοίνυν ἐνδῶμεν τῇ τοῦ καιροῦ ῥοπῇ μηδὲ τῇ τοῦ κράτους φορᾷ· εἰ γὰρ καὶ βασιλέα καὶ πολὺ σμῆνος σὺν αὐτῷ κακοφρόνων ἡ αἵρεσις ἐπισύρεται, ἀλλ' εἰς οὐδὲν αὐτοῖς ἡ ἰσχὺς ἀποβήσεται, οὐδὲ εἰς ἐκκλησίαν Θεοῦ λογισθήσεται. οὐ γὰρ ἐπὶ πλήθει θεὸς εὐδοκεῖ, ἀλλ' ἐφ' ἑνὶ φοβουμένῳ καὶ τρέμοντι τοὺς λόγους αὐτοῦ ἐπισκοπεῖ, καὶ ὅλην ἐκκλησίαν τὸν ἕνα σαφῶς ἀποδείκνυσι. τούτου διὰ προσευχῆς ἱλεωσώμεθα τὴν εὐμένειαν· τοῦτον παννύχῳ στάσει δυσωπήσαντες ἐκμειλιξώμεθα· τοῦτον αἰτήσωμεν μὴ παθεῖν ἡμᾶς ὅσα σπεύδουσι καθ' ἡμῶν οἱ διώκοντες." ταῦτα ἔλεγε, καὶ πάντας εἶχε τὸ ἱερὸν τὴν πάννυχον ἐπιτελέσοντας σύναξιν.

Καὶ ἐπεὶ βασιλεῖ κατάφωρα τὰ τῆς ὑμνῳδίας ἐγένετο, δέος αὐτὸν καὶ δειλία συνεῖχε, μή τι ἄρα καὶ νεωτερισθείη κατ' αὐτοῦ, αἰδοῖ τῇ πρὸς τὸν ἀρχιερέα καὶ σχέσει κινούμενον. περὶ οὖν ᾠδὰς ἀλεκτρυόνων στέλλει πρὸς τὸ ἱερὸν δυσπαθῶν καὶ ἀγανακτῶν, ἐπίκλημα περὶ τούτου φέρων τῷ ἀρχιποίμενι ὡς ταραχῆς αἰτίῳ τυγχάνοντι. "οὐ γὰρ ἔδει", φησί, "βασιλέως πρὸς εἰρήνην τὸ πᾶν συνελαύνοντος, διάστασιν μελετᾶν καὶ διχόνοιαν καὶ τῆς εἰρήνης κατεύχεσθαι. ἀλλ' ἐπειδὴ τὰ παρὰ γνώμην τῷ βασιλεῖ πράσσοντες πεφώρασθε, ἐπιλαβούσης λοιπὸν ἡμέρας τὴν πρὸς τὰ βασίλεια ποιεῖσθε πορείαν, ὡς ἂν καὶ αὐτὸς τὰ περὶ τούτων διαγνοίη σαφέστερον. ἐπειδὴ δὲ τὸ πλῆθος τῆς ἀγγελίας ἐπῄσθοντο, προθυμίαν ἀκοῆς ἐπεδείξαντο κρείσσονα. οὐ γὰρ ἦν οὐδείς, ὃς οὐ δάκρυον ἐκ καρδίας ἐξεκαλεῖτο ἱκέσιον, καὶ τὸν ἔφο-

6 ὑπήκειν V 18 ἐπιτελέσοντες V ἐπιτελέσαντας *vulg.*

ρον τῶν πάντων κριτὴν ἐβιάζετο διαιτῆσαι καὶ τηρῆσαι τῇ καθολικῇ πίστει τὸ δίκαιον. τέλος γοῦν τῆς εὐχῆς λαβούσης ἐκκλησιάσας τὸν ἱερὸν ὁ πανίερος σύλλογον καὶ καταστὰς εἰς μέσους, ἔλεξεν ὧδε.

"Ἔδει μέν, ὦ θεόλεκτον ἄθροισμα, μηδὲ ἐν ὀνειράτων ὄψει τὴν ἐκκλησίαν ὁρᾶν, ἐν οἷς ἐστι σήμερον, καὶ οἷα τὰ κατ' αὐτῆς δεινὰ μελετώμενα, ὅτι ἐκ φαιδρότητος τὸ κατηφὲς ἐπενδύεται, ὅτι ἐκ βαθείας εἰρήνης πρὸς στάσεις ἐπείγεται, ὅτι πάντας ἑκουσιότητι τελείᾳ ποιμαίνουσα, ἀκούσιον ἁρπαγὴν τῶν ποιμαινομένων ὑφίσταται, ὅτι πᾶσι ὁμογνωμονεῖν ἐπιτρέπουσα, διαφόροις δόξαις διίσταται, ἣν ὁ Χριστὸς τῷ ἰδίῳ περιεποιήσατο αἵματι, ἣν παντὸς μύσους καὶ κηλίδος τετήρηκεν ἄμωμον, ἣν ἀποστόλοις καὶ προφήταις καὶ μάρτυσι καὶ πᾶσι δικαίων πνεύμασι περιστοιχήσας τετειχισμένην ἔδειξεν ὡς παράδεισον. νυνὶ δὲ ταῦτα βλέπομεν πάσχουσαν, ὑπὸ τῶν τὸ δοκεῖν ἐχόντων ἡμέτερον, τὸ δὲ εἶναι καὶ λίαν ἀλλότριον, ὅσα καὶ παρ' ἐχθρῶν παθεῖν ἀπευχόμεθα. σήμερον γὰρ τῇ τοῦ Χριστοῦ εἰκόνι συνατιμοῦται καὶ τὸ ἀρχέτυπον, εἴγε ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, σήμερον ἡ ἀνέκαθεν τῇ ἐκκλησίᾳ διὰ λόγου καὶ γράμματος συντηρηθεῖσα παράδοσις ἐκκοπὴν καὶ παῦλαν ὅσον ἐπὶ τοῖς ἐχθροῖς τῆς ἀληθείας λαμβάνει καὶ παράδοσιν ἣν οὐκ ἤκουσεν ἐνωτίζεται. ἀλλὰ μὴ ⟨δεῖ⟩ καταπίπτειν ταῖς ἐκείνων ἀπειλαῖς μηδὲ ὑποχαλᾶν τι τῆς προθυμίας, μᾶλλον μὲν οὖν καὶ διανίστασθαι, ὅσον μετὰ συμμαχίας ὁ πόλεμος· ἐοίκασι γὰρ οἱ τῆς ἀληθείας ἐχθροὶ τοῖς φιλοπονοῦσι τῶν ποταμῶν τοὺς ῥαγδαίους ἐναντίως τῷ ῥεύματι διανήξασθαι. ἐκεῖνοι γὰρ ἐπὶ τὰ πρόσω χωρεῖν ἀμιλλώμενοι τῷ ποταμῷ καὶ μὴ θέλοντες συναπέρχονται· οὗτοί τε μυρία κατ' αὐτῆς φλυαρήσαντες ἐκείνῃ καὶ ἄκοντές εἰσιν ὁμογνώμονες. ἀκατ-

23 δεῖ *add. vulg.*

μεγάλην τὴν ῥοπὴν ἐφ' ἑκάτερα χαριζόμενον. οἶδε στεφανοῦν ἐν ἑκάστῳ τιμώμενον, οἶδε χειροῦσθαι πανταχοῦ πολεμούμενον. μετὰ ταύτης καὶ ὁ ἄνοπλος ἄτρωτος, ἄνευ δὲ ταύτης καὶ ὁ ὁπλίτης εὐάλωτος. μάρτυρες δὲ τῶν εἰρημένων οἱ πρὸς οὓς ἡμῖν ὁ λόγος· οὐδὲν γὰρ τῆς ἀληθείας φροντίσαι σπουδάζοντες καὶ αὐτοῖς τοῖς τὰ στοιχεῖα παιδευομένοις γεγόνασι παίγνια, αὐτοὶ ἑαυτοῖς πρὸς ἀντιλογίαν ἀρκοῦντες καὶ τῶν οἰκείων κατὰ τοὺς μαινομένους σαρκῶν ἐμφορούμενοι."

Τοιαῦτα τοίνυν ἐπιτροχάδην ἀγορεύσας καὶ τὸ ἱερὸν ῥάκος ἐπὶ τῶν ὤμων περιθεὶς τὴν βασιλέως αὐλὴν σὺν παντὶ τῷ τῆς ἐκκλησίας καταλαμβάνει πληρώματι· ὃν οὐχ ὡς εἰώθει χειρὶ καὶ ἀσπασμῷ βασιλεὺς προσεδέχετο, τεκμηρίοις οὖσιν εἰλικρινοῦς διαθέσεως, ἀλλὰ διάστροφόν τι καὶ μανικὸν ὑποβλέψας προηγεῖτο καὶ τῆς βασιλείου καθέδρας ἐπείληπτο, τῷ δὲ δικαίῳ τόπον ἐδίδου τὰ δευτερεῖα τῆς καθέδρας ἐπέχοντα. ἃ δὲ βασιλεῖ μόνος τότε μόνῳ διείλεκται καὶ ταῖς ἐκ τῶν θείων γραφῶν νιφάσι κατέκλυσε καιροῦ καλοῦντος ἤδη λελέξεται. καὶ γὰρ αἱρήσειν τὸν ἅγιον ᾤετο τὸ πεπολιορκημένον ἐκεῖνο ὑπὸ ἀσέβειαν ἀνδράριον, εἰ μόνῳ προσβάλοι συμμαχίας καὶ ὅπλων ἐστερημένῳ. ἄρχεται τοίνυν, ὡς ἐκ κατωτάτου βυθοῦ τοῦ θυμοῦ τὸν νοῦν ὑπεκκαίοντος, λέγειν τοιάδε. "τίς, ὦ οὗτος, ἡ παρ' ὑμῶν τεκταινομένη δικόνοια, μᾶλλον δὲ κατὰ τῆς βασιλείας νεανικὴ ἐπισύστασις; ὁ γὰρ τοῦ ἡμετέρου κράτους ἐκτὸς συνάγειν καὶ ἑτεροδιδασκαλεῖν καὶ κατεντεύξεις πρὸς τὸ κρεῖττον ἐπινοεῖν πειρώμενος οὐδὲν ἧττον κατὰ τῆς κοινῆς σωτηρίας ἑαυτὸν ἐπαφίησιν. εἰ μὲν γὰρ ἐπ' ἀναιρέσει τῶν ὀρθῶν δογμάτων τὸ ἡμέτερον κράτος ποιεῖν τι προηρεῖτο καὶ τὴν τούτων διασαλεύειν ἐπειρᾶτο, ὡς ὑμεῖς φατε, παλαιότητα, εἶχεν ἄν τις καὶ καιρὸν καὶ τρόπον μομφαῖς ἡμᾶς περιαντλεῖν καὶ ἑτεροδοξίας εἰσφέρειν ἐπίκλημα· ἐπεὶ δὲ τῆς τούτων ὀρθοτομίας ἐρῶμεν, καὶ πᾶσαν διχόνοιαν ἐκτρέπεσθαι προαιρούμεθα, καὶ ὁμογνωμονεῖν ἐπὶ τῇ πίστει

πάντας βουλοίμεθα, τί ἀδικεῖν ἐν τούτῳ φαινοίμεθα, τὸ εἰρηναῖον τῇ ἐκκλησίᾳ πρυτανεύειν ἐθέλοντες; οὐκ οἶσθα, ὡς οὐκ εὐαρίθμητον μέρος διενοχλύει καὶ τῆς ἐκκλησίας διίσταται τῆς τῶν εἰκόνων ἕνεκεν γραφῆς τε καὶ στάσεως, ῥήσεων γραφικῶν περὶ τῆς τούτων ἀποτροπῆς ἐπικομιζόμενον διατάγματα; ὧν ἀδιερεύνητα εἰ παροφθείη τὰ προτεινόμενα, οὐδὲν κωλύει μὴ τὸ τῆς πίστεως σύμφωνον εἰς διαιρέσεις λυθῆναι, καὶ μὴ πρὸς ἕνωσιν ὀρθοτόμου τὸ λοιπὸν ἰδεῖν συνουλώσεως. τοῖς οὖν περὶ τούτων διαμφιβάλλουσι πάσης ἄτερ ἀναβολῆς ὑμᾶς διαλεχθῆναι προτρέπομεν, καὶ πείσειν ἢ πεισθῆναι κεκρίκαμεν, ὡς ἂν καὶ ἡμεῖς τὰ δικαίως ἐγνωκότες λεγόμενα μετὰ τοῦ δικαίου γενοίμεθα καὶ τούτῳ τὴν ῥοπὴν χαρισαίμεθα. εἰ δὲ μὴ τοῦτο ποιεῖν κατανεύσοιτε, τῇ δὲ σιγῇ τὸ δίκαιον ἑαυτοῖς θηρᾶσθαι θελήσοιτε, οὐκ ἄδηλον ὅποι τετάξεται τὸ ὑμέτερον".

Ὑπολαβὼν δὲ ὁ τῆς ἀληθείας φωσφόρος Νικηφόρος ἀντέφησεν· "οὐ τέκτονες ἡμεῖς, ὦ βασιλεῦ, τῶν πρὸς διχόνοιαν καὶ στάσιν ὁρώντων ὑπάρχομεν, οὐδὲ κατὰ τῆς σῆς ἀρχῆς ὅπλα τὴν ἡμετέραν εὐχὴν κεκινήκαμεν· εὔχεσθαι γὰρ ὑπὲρ βασιλέων, οὐ κατεύχεσθαι παρὰ τῆς γραφῆς νουθετούμεθα. οὐδέ γε πρὸς ἑτεροδιδασκαλίας νόσον τὸν ὑγιᾶ λόγον τῆς πίστεως παρεκκλίνομεν· τοῖς τοιούτοις δὲ καὶ χαίρειν ἐκ τοῦ τῆς ἀληθείας καθηγεμόνος ἐντεταλμένων ἡμῖν εἰπεῖν παραιτούμεθα. τοῦτο δὲ ἴσμεν καὶ ὑμῖν εἰδόσι ἐπιβοησόμεθα, ὡς πρῶτον ἀγαθὸν τὴν εἰρήνην εἶναι ὁμολογεῖται παρὰ πάντων ἀνθρώπων, οἷς τι καὶ κατὰ βραχὺ λογισμοῦ πάρεστιν, ὥστε εἴ τις διαλυτὴς ταύτης γένοιτο, τῶν κακῶν αἰτιώτατος ἄν, οὐ τῶν πέλας μόνον, ἀλλὰ καὶ ὁμογενέσι τοῖς αὐτοῦ εἴη. βασιλεὺς οὖν ἄριστος οὗτος ἐκεῖνός ἐστιν, ὃς ἤδη ἐκ πολέμου εἰρήνην διατίθεσθαι ἱκανὸς πέφυκεν· σὺ δέ, τῶν πραγμάτων εὖ καθεστώτων ταῖς ἐκκλησίαις, πόλεμον ἐπάγειν ἡμῖν

6 ἀδιερεύνητα V *corr. vulg.* 22 ἐκ τῶν ὑπὸ τοῦ?

Digitized by Google

αἰτίαν οὐκ ἔχοντα ἔγνωκας· καὶ τῶν ὀρθῶν δογμάτων, ἐν οἷς ὁ τοῦ Χριστοῦ κηρύσσεται σταυρός, διαλαμπόντων (καὶ γὰρ οὐχ ἑῴα, οὐχ ἑσπέρα, οὐ βορρᾶς, οὐ θάλασσα τῆς τούτων τηλαυγίας ἔξω καθέστηκεν) ἀμυδράν τινα φθοροποιῶν ἀνδρῶν διδασκαλίαν ἀντεγείρειν οὐχ ἥκιστα κέκρικας. τίς γὰρ ὑμῖν Ῥώμη, τὸ πρωτόκλητον τῶν ἀποστόλων ἔδος, ἐπ' ἀθετήσει τῆς Χριστοῦ σεπτῆς εἰκόνος συνέπνευσεν; ἡμῖν δὲ ἐπὶ τῇ ταύτης τιμῇ συμπονεῖ καὶ συνήδεται. τίς Ἀλεξάνδρεια, τὸ τοῦ εὐαγγελιστοῦ Μάρκου σεβάσμιον τέμενος, τὴν τῆς θεομήτορος σαρκικὴν δι' ὕλης ἐμφέρειαν ἀναστηλοῦσθαί ποτε συναπείπατο; ἐν τούτῳ δὲ ἡμῖν συνεργεῖ καὶ συμφέρεται. τίς Ἀντιόχεια, ὁ τοῦ κορυφαίου Πέτρου μεγαλώνυμος θᾶκος, ἐφ' ὕβρει τῆς τῶν ἁγίων συνέδραμεν ἐκτυπώσεως; ἡμῖν δὲ τὸ τούτων ἀρχαϊκὸν συνεργάζεται γέρας. τίς Ἱερόσολυμα, τὸ τοῦ ἀδελφοθέου κλεινὸν ἐνδιαίτημα, ἐπ' ἀναιρέσει τῶν πατρικῶν συμπεφρόνηκε παραδόσεων; τίς ὑμῖν τῶν ὑπὸ τὴν ἀρχὴν ὑμῶν τελούντων ἑκουσιαζόμενος ἱερεύς, ἀλλ' οὐχὶ βίαν ὑποστὰς ἀκούσιον συνέπεται καὶ συντίθεται; ποία δὲ τῶν καθολικῶν συνόδων, ὑφ' ὧν τὸ τῆς πίστεως εἰλικρινὲς πνεύματι θείῳ τετράνωται σύμβολον, ἐπὶ τούτοις ὑμῖν συνεφθέγξατο; ὁ γὰρ τῆς τούτων γυμνητεύων συννεύσεως τῇ ἐκκλησίᾳ δογμάτων ὑφαίνειν περιστολὴν οὐ δυνήσεται. ἀλλά, βασιλεῦ, μὴ δῷς τῇ αἱρέσει χεῖρα κάτω κειμένῃ, μηδὲ τῇ εὐλόγῳ σιγῇ καταδικασθείσῃ φωνὴν κατὰ τῆς ἐκκλησίας ἐμπνεύσειας διὰ φωνῆς. αὐτὴ μετὰ τῶν αὐτῆς εὑρετῶν ἀπερρίφθω ἐς μακράν, οἰχέσθω ἐς κόρακας, ἀποπεμπέσθω ἐς Κυνόσαργες· ἡ δὲ τῆς ἐκκλησίας ἀσύγκριτος ἀεὶ μενέτω μεγαλοπρέπεια. οὐδὲν μέρος τῇ ὑφηλίῳ, ὡς φθάσαν τὸ ὑμέτερον εἴρηκε κράτος, ἕκατι τῶν ἱερῶν εἰκόνων ταύτην παραλυπεῖν προτεθύμηται, οὐδὲν κατὰ τῆς μονίμου αὐτῆς εὐταξίας ἀταξίαν ποτὲ μεμελέτηκεν· πάντοθεν γὰρ τὸ ἠρεμαῖον καὶ στάσι-

25 ἐμπνεύσειας· διὰ φωνῆς αὐτῷ μετὰ τ. αὐτῆς εὑρετῶν· ἀπερρίφθω V, *ut in textu vulg.*

μον ἔχουσα καταιγίδων καὶ σάλων καὶ αὐτῶν τῶν τοῦ ᾅδου πυλῶν κατισχύουσα φαίνεται. μὴ τὰς νεωτεροποιοὺς διδασκαλίας κατὰ τῆς προβεβηκυίας ἡμῶν ἐπαφήσητε παραδόσεως· αὗται γὰρ πρὸς χάριν, οὐ τὰ τοῦ κυρίου λαλεῖν μεμαθήκασιν, αὗται τῶν ἀπὸ κοιλίας φωνούντων εἰσὶν ἐξαμβλώματα. εἰ δέ τι τῶν ἑτεροδόξων τὴν ὑμετέραν ὀρθὴν παρεσάλευσε νῆψιν (ἴσμεν γάρ σε καὶ πρὸ τοῦ στέφους τῇ ἀμωμήτῳ πίστει προσκείμενον), καὶ λόγος χραίνειν ἀκοὰς δυνάμενος τὸ ὑμέτερον οὖς διελάσας παρέπεισε καὶ σκῶλον ὑμῖν ἀπεγέννησεν, εὑρέσθαι δὲ τὴν τούτου λύσιν εἰ ἐμέλησεν, ταύτην ἐπιφύσει θεοῦ παρέξειν ὑμῖν βεβαιούμεθα. χρέος γὰρ ἡμῖν τοῦτο καὶ χρεῶν ἁπάντων ἀναγκαιότατον, τὸ τὸ σκάνδαλον ὑμῖν ἐπαφέντα, θεοῦ διδόντος, ἀναστεῖλαι προθέλυμνα. διᾶραι δὲ στόμα καὶ τὰ τοῦ πνεύματος μετὰ τῶν ἔξω τοῦ πνεύματος συζητεῖν οὐκ ἀναγκαῖον τιθέμεθα, κἂν εἰ πάσης ἀνάγκης πειραθείημεν αἴτια, οὐδὲ ταῖς ὑπ' ἐκείνων ἀποκνισθείσαις γραφικαῖς καὶ πατρικαῖς ὑπείκομεν ῥήσεσι. πάλαι γὰρ ὑπὸ πολλῶν ἐλεγχθεῖσαι καὶ πατέρων τεθνήκασι".

Καὶ ὁ βασιλεὺς ὑποφθάσας φησίν· "ἀλλ' οὐδὲ Μωϋσῆς σοι περὶ τούτων τῆς ἀληθοῦς πεφροντικέναι φαίνεται ῥήσεως; οὐκ ἂν δὲ ἀμφιγνοίης ὡς θεοῦ λόγοι τοῦ Μωϋσέως οἱ λόγοι, μήτε εἴδωλον, μήτε ὁμοίωμα ποιεῖν ἐπιτρέποντος, οὐκ ἀνθρώπου μόνον, ἁπλῶς δὲ οὕτω καὶ ἀορίστως, μὴ τῶν κατ' οὐρανὸν ἀεροπορούντων, μὴ τῶν ἐν γῇ διαιτωμένων, μὴ τῶν ἐν ὕδασι νηχομένων; πῶς οὖν ὑμεῖς εἰκόνας δημιουργοῦντες προσάγετε αὐταῖς τιμάς, ἃς ὁ νομοθέτης ἀπηγόρευσεν; *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* ὡς εἰς βαθύ τε καὶ ἀχανὲς ζητήσεως πέλαγος ἀνάγεις ἡμᾶς, ὦ βασιλεῦ, ὃ πολλοὶ μὲν πολλάκις διέπλευσαν, οὐδεὶς δέ γε, ὅσα ἴσμεν ἡμεῖς, ἐπὶ τὸν λιμένα τῆς ἀκριβείας ἀφίκετο. οἱ μὲν γάρ, καίτοιγε ἄτοπόν τι οἰόμενοι τὰς εἰκόνας χρῆμα καὶ Ἑλληνικῆς ἔκγονον

10 ἐπιφρ**ύσει V ἐπιφύσει vulg. 17 ὑπήκομεν V corr. vulg. 24 ἀεριποροῦντων V corr. vulg.

Digitized by Google

πλάνης, ἐν μὲν τῷ ἀφανεῖ τῆς ψυχῆς κριτηρίῳ διαβάλλουσί τε αὐτὰς καὶ τοῖς κατηγόροις συντίθενται· ἐπὶ δὲ τῶν πραγμάτων ἐλθόντες πρύμναν τε ἐκρούσαντο καὶ ἐναντία δρῶσιν οἷς ἔγνωσαν· εἰκόνες τε γὰρ αὐτοῖς εἰσι καὶ ἐν ταῖς ἐκκλησίαις καὶ ἐν ταῖς ἀγοραῖς καὶ ἐν τοῖς οἴκοις, ἤδη δὲ καὶ ἔνιοι καὶ συνοδοιπόρους ἔχουσι καὶ ὁμοδιαίτους καὶ πεζοποροῦντες καὶ πελαγίζοντες· οἱ δὲ τελέως πρὸς τὴν ἀπορίαν ὀκλάσαντες, εὐθὺς ἐκ πρώτης συμπλοκῆς τὰ ὅπλα τῆς ψυχῆς ἀπορρίψαντες νῶτα τῷ πολεμίῳ παρέσχοντο· καὶ οὔτε προφητῶν αὐτοῖς τιμῶνται εἰκόνες οὔτε ἀποστόλων μορφαὶ οὔτε μαρτύρων γραφαί· ἀλλὰ τούτων ἁπάντων ἀπηλλαγμένας τὰς ἐκκλησίας συστήσαντες, ἀσχηματίστους καὶ τύπων ἐκτὸς τῷ ἀοράτῳ τε καὶ ἀσωμάτῳ θεῷ τὰς ἑαυτῶν ἱκεσίας ἀνάγουσιν. ἀλλ', εἰ δοκεῖ, μὴ περὶ τὴν ζήτησιν ἀποκάμωμεν, μηδὲ ἀμελῶμεν τῆς θήρας, εἰ μὴ ἐν κύκλῳ περιόντες καὶ ἰχνηλατοῦντες τῷ λόγῳ ἐν δικτύοις αὐτὴν ἀληθείας ἐμβάλωμεν. ἄκουε δῆτα τοῦ λόγου, εὖ μάλα σοφοῦ τε καὶ ἀληθοῦς, ὃν ἀποδέξῃ καὶ ἐπαινέσεις, εἰ τῷ ὄντι τοῦ ὄντος ἐρᾷς καὶ τῆς ἀληθείας ἐφίεσαι.

Οὐκ οἶσθα, οἷα τις πρώην περὶ θεὸν τὰς Αἰγυπτίων ψυχὰς ἐπενέμετο πλάνη, καὶ ὡς τὴν ἀκτιστόν τε καὶ ἄϋλον τοῦ δεσπότου δόξαν καταγαγόντες εἰς ὕλην καὶ εἶδος, ἀνδρείκελόν τε ταύτην καὶ ἀνθρωποειδῆ τετιμήκασιν; οἷος ἦν ἄρα ἐκεῖνος ὁ Ὄσιρις, ὁ Τυφώς, ὁ Ὧρος, ἡ Ἶσις, καὶ τῶν ἄλλων ἀνθρώπων θεῶν ὁ κατάλογος, ὧν διελέγχει καὶ ἀποδείκνυσι τὴν ἀκρασίαν ὁ βίος, τὴν δὲ πλεονεξίαν ὁ πόλεμος, τὴν φύσιν ὁ θάνατος. τί δή; ἄχρι τούτου τὸ θεῖον ἔστησαν, ἢ καὶ εἰς ἄλογα ζῷα καὶ ἀλόγων εἴδη τὸ θεῖον εἶδος τετύπωτο αὐτοῖς καὶ μεμόρφωτο; καὶ προσεκύνουν μὲν ὡς θεὸν τὸν κύνα, ὑμνεῖτο μόσχος ὁ Ἆπις, τράγος ὁ Ἑρμῆς, καὶ ἰχθὺς ἡ Ἀθηνᾶ, καὶ γνώμῃ ἀλόγῳ τὸ ἄλογα θεοὺς

15 περιόντες V *corr. vulg.*

μον ἔχουσα καταιγίδων καὶ σάλων καὶ αὐτῶν τῶν τοῦ ᾅδου πυλῶν κατισχύουσα φαίνεται. μὴ τὰς νεωτεροποιοὺς διδασκαλίας κατὰ τῆς προβεβηκυίας ἡμῶν ἐπαφήσητε παραδόσεως· αὗται γὰρ πρὸς χάριν, οὐ τὰ τοῦ κυρίου λαλεῖν μεμαθήκασιν, αὗται τῶν ἀπὸ κοιλίας φωνούντων εἰσὶν ἐξαμβλώματα. εἰ δέ τι τῶν ἑτεροδόξων τὴν ὑμετέραν ὀρθὴν παρεσάλευσε νῆψιν (ἴσμεν γάρ σε καὶ πρὸ τοῦ στέφους τῇ ἀμωμήτῳ πίστει προσκείμενον), καὶ λόγος χραίνειν ἀκοὰς δυνάμενος τὸ ὑμέτερον οὖς διελάσας παρέπεισε καὶ σκῶλον ὑμῖν ἀπεγέννησεν, εὑρέσθαι δὲ τὴν τούτου λύσιν εἰ ἐμελρεσθε, ταύτην ἐπιφύσει θεοῦ παρέξειν ὑμῖν βεβαιούμεθα. χρέος γὰρ ἡμῖν τοῦτο καὶ χρεῶν ἁπάντων ἀναγκαιότατον, τὸ τὸ σκάνδαλον ὑμῖν ἐπαφέντα, θεοῦ διδόντος, ἀναστεῖλαι προθέλυμνα. διᾶραι δὲ στόμα καὶ τὰ τοῦ πνεύματος μετὰ τῶν ἔξω τοῦ πνεύματος συζητεῖν οὐκ ἀναγκαῖον τιθέμεθα, κἂν εἰ πάσης ἀνάγκης πειραθείημεν αἰτια, οὐδὲ ταῖς ὑπ' ἐκείνων ἀποκινισθείσαις γραφικαῖς καὶ πατρικαῖς ὑπείκομεν ῥήσεσι. πάλαι γὰρ ὑπὸ πολλῶν ἐλεγχθεῖσαι καὶ πατέρων τεθνήκασι".

Καὶ ὁ βασιλεὺς ὑποφθάσας φησίν· "ἀλλ' οὐδὲ Μωϋσῆς σοι περὶ τούτων τῆς ἀληθοῦς πεφροντικέναι φαίνεται ῥήσεως; οὐκ ἂν δὲ ἀμφιγνοίης ὡς θεοῦ λόγοι τοῦ Μωϋσέως οἱ λόγοι, μήτε εἴδωλον, μήτε ὁμοίωμα ποιεῖν ἐπιτρέποντος, οὐκ ἀνθρώπου μόνον, ἁπλῶς δὲ οὕτω καὶ ἀορίστως, μὴ τῶν κατ' οὐρανὸν ἀεροπορούντων, μὴ τῶν ἐν γῇ διαιτωμένων, μὴ τῶν ἐν ὕδασι νηχομένων; πῶς οὖν ὑμεῖς εἰκόνας δημιουργοῦντες προσάγετε αὐταῖς τιμάς, ἃς ὁ νομοθέτης ἀπηγόρευσεν; Ο ΠΑΤΡΙΑΡΧΗΣ. ὡς εἰς βαθύ τε καὶ ἀχανὲς ζητήσεως πέλαγος ἀνάγεις ἡμᾶς, ὦ βασιλεῦ, ὃ πολλοὶ μὲν πολλάκις διέπλευσαν, οὐδεὶς δέ γε, ὅσα ἴσμεν ἡμεῖς, ἐπὶ τὸν λιμένα τῆς ἀκριβείας ἀφίκετο. οἱ μὲν γάρ, καίτοιγε ἄτοπόν τι οἰόμενοι τὰς εἰκόνας χρῆμα καὶ Ἑλληνικῆς ἔκγονον

10 ἐπιφρ**ύσει V ἐπιφύσει vulg. 17 ὑπήκομεν V corr. vulg. 24 ἀεριπορούντων V corr. vulg.

πλάνης, ἐν μὲν τῷ ἀφανεῖ τῆς ψυχῆς κριτηρίῳ διαβάλλουσί τε αὐτὰς καὶ τοῖς κατηγόροις συντίθενται· ἐπὶ δὲ τῶν πραγμάτων ἐλθόντες πρύμναν τε ἐκρούσαντο καὶ ἐναντία δρῶσιν οἷς ἔγνωσαν· εἰκόνες τε γὰρ αὐτοῖς εἰσι καὶ ἐν ταῖς ἐκκλησίαις καὶ ἐν ταῖς ἀγοραῖς καὶ ἐν τοῖς οἴκοις, ἤδη δὲ καὶ ἔνιοι καὶ συνοδοιπόρους ἔχουσι καὶ ὁμοδιαίτους καὶ πεζοποροῦντες καὶ πελαγίζοντες· οἱ δὲ τελέως πρὸς τὴν ἀπορίαν ὀκλάσαντες, εὐθὺς ἐκ πρώτης συμπλοκῆς τὰ ὅπλα τῆς ψυχῆς ἀπορρίψαντες νῶτα τῷ πολεμίῳ παρέσχοντο· καὶ οὔτε προφητῶν αὐτοῖς τιμῶνται εἰκόνες οὔτε ἀποστόλων μορφαὶ οὔτε μαρτύρων γραφαί· ἀλλὰ τούτων ἁπάντων ἀπηλλαγμένας τὰς ἐκκλησίας συστήσαντες, ἀσχηματίστους καὶ τύπων ἐκτὸς τῷ ὁράτῳ τε καὶ ἀσωμάτῳ θεῷ τὰς ἑαυτῶν ἱκεσίας ἀνάγουσιν. ἀλλ', εἰ δοκεῖ, μὴ περὶ τὴν ζήτησιν ἀποκάμωμεν, μηδὲ ἀμελῶμεν τῆς θήρας, εἰ μὴ ἐν κύκλῳ περιιόντες καὶ ἰχνηλατοῦντες τῷ λόγῳ ἐν δικτύοις αὐτὴν ἀληθείας ἐμβάλωμεν. ἄκουε δῆτα τοῦ λόγου, εὖ μάλα σοφοῦ τε καὶ ἀληθοῦς, ὃν ἀποδέξῃ καὶ ἐπαινέσεις, εἰ τῷ ὄντι τοῦ ὄντος ἐρᾷς καὶ τῆς ἀληθείας ἐφίεσαι.

Οὐκ οἶσθα, οἵα τις πρώην περὶ θεὸν τὰς Αἰγυπτίων ψυχὰς ἐπενέμετο πλάνη, καὶ ὡς τὴν ἀκτιστόν τε καὶ ἄϋλον τοῦ δεσπότου δόξαν καταγαγόντες εἰς ὕλην καὶ εἶδος, ἀνδρείκελόν τε ταύτην καὶ ἀνθρωποειδῆ τετιμήκασιν; οἷος ἦν ἄρα ἐκεῖνος ὁ Ὄσιρις, ὁ Τυφώς, ὁ Ὧρος, ἡ Ἶσις, καὶ τῶν ἄλλων ἀνθρώπων θεῶν ὁ κατάλογος, ὧν διελέγχει καὶ ἀποδείκνυσι τὴν ἀκρασίαν ὁ βίος, τὴν δὲ πλεονεξίαν ὁ πόλεμος, τὴν φύσιν ὁ θάνατος. τί δή; ἄχρι τούτου τὸ θεῖον ἔστησαν, ἢ καὶ εἰς ἄλογα ζῷα καὶ ἀλόγων εἴδη τὸ θεῖον εἶδος τετύπωτο αὐτοῖς καὶ μεμόρφωτο; καὶ προσεκύνουν μὲν ὡς θεὸν τὸν κύνα, ὑμνεῖτο μόσχος ὁ Ἆπις, τράγος ὁ Ἑρμῆς, καὶ ἰχθὺς ἡ Ἀθηνᾶ, καὶ γνώμῃ ἀλόγῳ τὸ ἄλογα θεοὺς

15 περιόντες V *corr. vulg.*

Digitized by Google

ἀνηγόρευον· ἤδη δὲ αὐτὰ καὶ ἐν ἀλλήλοις συνθέντες πολυμόρφους τινὰς καὶ πολυειδεῖς θεοὺς ἀνεπλάσαντο· τὸν μὲν τραγόπουν δημιουργοῦντες· (ὁ Πᾶν οὗτος ἦν) τῷ δὲ πρόσωπον κυνὸς περιάπτοντες· (Ἄνουβις, οἶμαι, ἐλέγετο,) μήτε ἀνὴρ εἶναι ὁλόκληρος μήτε κύων ἐντελὴς συγχωρούμενος. πότερον ψεύδομαι ταῦτα διεξιών, ἢ ὡς ἀληθέσι συντίθεσαι; Ὁ ΒΑΣΙΛΕΥΣ. Ἀληθεύεις. Ο ΠΑΤΡΙΑΡΧΗΣ. ἐπεὶ οὖν ἐκεῖνος ὁ νομοθέτης τὸν παραδεδομένον αὐτῷ παρὰ τοῦ θεοῦ λαὸν ἀπὸ τῆς Αἰγύπτου ἐξάγων τὰς ἐντακείσας ἐκεῖθεν ταῖς αὐτῶν ψυχαῖς δευσοποιοὺς κηλίδας ἀποσμήχειν τε καὶ ἀποκαθαίρειν βουλόμενος, ἵνα μὴ ἀνθρωποειδὲς καὶ ἀνδρείκελον ἡγῶνται τὸ θεῖον, ἢ ἑτέρας ζῴων ἰδέας, παραινεῖ ὡσαύτως καὶ νομοθετεῖ τῷ λόγῳ τοιάδε· μὴ κατὰ τὸν ἐν Αἰγύπτῳ πολιτεύεσθε τρόπον, ὦ ἄνθρωποι, μηδὲ ἐξ ἐκείνων ἀτόπως μαθόντες θεοῦ εἰκὼν ἐν ὑμῖν τελείτω, ἢ ἐκ τῶν ἐν ἀέρι διιπταμένων ἢ ἐν γῇ κινουμένων ἢ ἐννηχομένων τοῖς ὕδασιν· οὐ γὰρ ταῦτα θεός, καὶ εἰ τοῖς Αἰγυπτίοις δοκεῖ, οὐδὲ ἐν εἰκόνι γραπτέον τὸ μὴ θεωρηθῆναι δυνάμενον. ἀνείδεον γὰρ τὸ θεῖον καὶ ἀσχημάτιστον καὶ ἀόρατον καὶ τῶν φαινομένων καὶ ὀφθαλμοῖς ἀνθρώπων ἐγνωσμένων οὐδέν· ἀλλὰ νῷ μόνῳ θεωρητόν, εἴ πού τις καὶ τοῦτο δυνήσαιτο. εἰ γὰρ δημιουργὸς τῶν πάντων, οὐκ ἂν ἐν αὐτὸς εἴη τῶν πάντων· καὶ εἰ διὰ πάντων διήκει, οὐκ ἂν ἐν ἑνὶ περικλείοιτο. ὁ οὖν νομοθέτης ἐπὶ μόνου θεοῦ δημιουργεῖν εἰκόνας ἐκώλυσε. καὶ ὅτι τοῦτο σαφές, πρῶτον αὐτὸς τοῦτο δηλώσει τοῖς ἐπαΐειν ὀρθῶς τῶν γεγραμμένων ἐθέλουσιν· ὡς γὰρ περὶ θεοῦ τὸν λόγον προφέρων καὶ πρὸς μόνον αὐτὸν ἀναφέρων τὸ ἔπος, ἐπάγει που λέγων· "οὐ γὰρ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς· ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτής". ἡ μὲν γὰρ ἀσεβής τε προπέτεια καὶ

3 τὸ δὲ V *corr. vulg.* 6 συντίθεσθαι V *corr. vulg.* 12 εἰδέας V *corr. vulg.* 14 ἀτύπως V *corr. vulg.* 15 τελεῖται V τελείτω *vulg.* εἰκόνα ὑμῖν τελεῖτε?

ἄτοπος ἔννοια, ἥτις ἄρα ποτὲ τὸν πάσης ἐπέκεινα φύσεως καὶ οὐσίας καὶ γνώσεως, ὃν οὐδεὶς ἑώρακεν, οὔτε μήποτε θεάσασθαι δύναται, τούτου μορφὴν καὶ τύπον ἐκ τῶν φαινομένων τὰς ἐννοίας λαβών, ἑαυτῷ τολμηρῶς ἀναπλάσεται· οἷα παρ' Ἕλλησιν ἀσεβῶς ἐτολμήθη, καὶ θεὸν ζητοῦντες οὐκ ἄνω τὸ ὄμμα τῆς ψυχῆς ἔτειναν οὐδὲ ὑπὲρ αἰθέρα καὶ οὐρανὸν τῷ νῷ κουφισθέντες ἐκεῖ διηρευνήσαντο τὸ ποθούμενον· ἀλλ' εἰς γῆν καὶ ὕλην κατενεχθέντες καὶ πᾶσαν αὐτῶν τὴν σοφίαν κάτω κενώσαντες τὰ φανέντα θεὸν ἀνηγόρευσαν. εἰ δέ τις ἀνὴρ ἢ βασιλέα τιμῶν ἢ στρατηγὸν ὑμνῶν ἢ ἀριστέα θαυμάζων εἰκόνας αὐτῶν ἀπεργάζηται, ἀδικῆσαι οἶμαι οὐδέν, εἰ, ὃν ἐπαινεῖ τῇ ψυχῇ καὶ εἶδεν ὀφθαλμοῖς, παραστήσει τοῖς χρώμασι· μόνον μὴ τιμάσθω κατὰ τοὺς ἐκείνων φληνάφους καὶ λήρους ὡς θεός· ποτε τὸ γινόμενον· τοῦτο γὰρ ἤδη ἐστίν, ὃ καὶ Μωϋσῆς ἀπείργει, καὶ ὁ χριστιανῶν νόμος μισεῖ, καὶ θεὸς γενέσθαι οὐ βούλεται· "τὴν γὰρ ἐμήν", φησί, "δόξαν ἑτέρῳ οὐ δώσω". Ὃς μὲν οὕτως ἐπαΐοι τῶν τοῦ νομοθέτου λογίων, ἀκραιφνὲς μὲν αὐτῷ τηρεῖται τῆς διανοίας τὸ ὄμμα, ἀτρέπτως δὲ τὸ ἄτρεπτον καθορῶν, οὐ τύπον, οὐ χρῶμα περιιέναι ἐννοεῖ, οὐ τόπον ἢ χρόνον ἢ ὅσα τοιαῦτα σωμάτων ἴδια, πρὸς ἑαυτὰ τὸν νοῦν διὰ τῶν ὀφθαλμῶν ἐπισπώμενα· ἀλλ' αὐτοῦ που περὶ τὸ ἀσώματον ἑαυτὸν ἐρείδων ἀκίνητός τε καὶ ἀτρεμὴς περὶ τὸ ἀγαθὸν ἕστηκεν, ἀθόλωτόν τε καὶ ἀπαθῆ τὴν ἑαυτοῦ φυλάττων ἐνέργειαν. ὁ δὲ ἄλλως αὐτῶν ἀκροώμενος καὶ πρὸς τὸ ἀειδές τε καὶ νοερὸν ἰλιγγιάσας ἀτονίᾳ ψυχῆς, τῆς περὶ θεοῦ ἀπολισθήσας ἐννοίας ἀνὰ τὸ Λήθης πεδίον ἀλᾶται, περὶ σώματα καὶ γῆν εἱλυσπώμενος.

Τί οὖν, εἰ καὶ αὐτοὺς ἐκείνους τοὺς κατα Μωϋσέως πολιτευσαμένους ἄνδρας ὁσίους μὴ πεφυλαχότας τόνδε ἐπεδείξω τὸν νόμον, μηδὲ πεφευγότας τῶν οὐρανοῦ καὶ ἐπὶ

27 ἀνὰ τὸ *Λήθης*] ἀναστολήθης V ἄστατος λήθης *vulg.*

Digitized by Google

γῆς ἢ τῶν ἐν θαλάσσῃ ποιεῖν τὰ ἐνδάλματα, εἰ κατὰ τὰς σὰς ἀορίστους ἐννοίας νοοῖτο ὁ λόγος; *Ο ΒΑΣΙΛΕΥΣ.* πῶς καὶ τίνα τρόπον; *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* μῶν οὐκ ἀκήκοας, ὦ βασιλεῦ, ὡς οἰκοδομῶν τὸν νεὼν Σολομὼν τὴν χαλκῆν ἐκείνην τοῦ ἱεροῦ περιβόλων ἐντὸς ἐτεκτήνατο θάλασσαν, ἐν ᾗ τὰς χεῖρας οἱ ἱερεῖς αἵματι καὶ λύθρῳ πεπαλαγμένας ἐκάθαιρον; ἐπὶ τίνων οὖν ταύτην ἀπηώρησεν; οὐχὶ δυοκαίδεκα βόας χαλκεύσας καὶ τούτους ὑποθείς, ἐπ' αὐτῶν τὴν θάλασσαν ἥπλωσεν; πῶς οὖν φυλάττει τὸν νόμον, ὁμοίωμα βοῶν ἐν τοῖς τελουμένοις αὐτῷ ποιησάμενος; δι' ὧν, οἶμαι, ὑπέργαφεν, ὡς τῶν ἀποστόλων ἰσάριθμος χορός, οἱ σοφοὶ τοῦ λόγου βοεργάται, τόνδε τὸν κόσμον, τὴν θάλασσαν, εἰς ὕψος αἴροντες τῇ γεηπονίᾳ τῆς εὐσεβείας, μεμολυσμένας αἵμασι θυσιῶν τῶν ἱερέων τὰς χεῖρας ἐκάθαιρόν τε καὶ ἔσμηχον τῆς διδασκαλίας τοῖς νάμασιν, ἵνα ἐκείνων ἀπαλλαγέντες ἀναίμακτον θυσίαν τῷ δεσπότῃ προσφέρωσι. τί δέ, ποικίλους καὶ πολυτελεῖς κατασκευάσας θάκους, οὐ λεόντων ἐν αὐτοῖς ἐτίθει μορφάς, τοὺς μὲν ἄνωθεν ἐπὶ τοὺς ἀγκῶνας ἐρείσας, τοὺς δὲ ἔνερθεν ἀνὰ τοὺς βαθμοὺς ἁρμοσάμενος; ἐλέφας δὲ ἦν τῶν λεόντων ἡ ὕλη.

Καὶ τί ἂν ταῦτα περὶ ἑτέρων σοι φαίην, ἐξὸν καὶ αὐτὸν ἐπιδεικνύναι τὸν νομοθέτην, εἰ οὕτω νοοῖτο, τοῖς οἰκείοις θεσμοῖς οὐχ ἑπόμενον; οὐκ οἶσθα γὰρ ὡς ἱλαστήριον ἐκ καθαροῦ χρυσίου κατεσκεύασε καὶ τοῦ τοἄνωθεν τῆς χρυσῆς ἐπέθηκε κιβωτοῦ, καί, ὡς ὁ Παῦλος, εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν τὸ ἱλαστήριον εἴληφεν; τί δέ; οὐχ ὕπερθε τοῦ ἱλαστηρίου δύο Χερουβὶμ κατεσκεύασεν, ἃ διέντα τὰς πτέρυγας ἐπισκιάζουσί τε αὐτὸ καὶ συγκαλύπτουσι καὶ ἀφθέγκτῳ βοῇ σιωπῶντα κηρύττουσι τὴν κρυφίαν καὶ ἄγνωστον τοῦ ἐπὶ γῆς φανέντος θεότητα; νοερὰς δὲ εἶναι ταύτας οὐ συντίθῃ δυνάμεις, ἀνὰ τὰς οὐρανίους σελασφόρους πτυχὰς

8 τούτοις V *corr. vulg.* 12 βουεργάται *vulg.*

Digitized by Google

περιπολοῦντα περὶ Θεὸν καὶ χορεύοντα, τῇ οἰκείᾳ γανυμένας γαλήνῃ καὶ τῷ πλήθει τῆς γνώσεως, ἣν ἀμφὶ τὸ ποθούμενον ἔχουσι; πῶς οὖν εἰκόνας τούτων ὁ νομοθέτης, ὁ τὰς εἰκόνας, ὡς ἔφης, ἀπαγορεύων, εἰργάσατο; ἤδη δὲ ἄρα καὶ πίπτοντά ποτε τὸν Ἰσραηλίτην λεὼν ἐν τῇ ἐρήμῳ θεώμενος (τὸ δὲ πάθος ἦν ἐξ ἀφανῶν χωρίων ὄφεις ἕρποντες καὶ ἑαυτοὺς βέλη θανάσιμα τοῖς ὁδοιποροῦσιν ἐπάγοντες), τὸν χαλκοῦν ἐκεῖνον ἐδημιούργησεν ὄφιν ἐπὶ σημείου τε αὐτὸν ἐπηώρησεν, εἰς ὃν ἀφορῶντες αἱ ἐναντίαι δυνάμεις οἱ ὄφεις, οἱ μὲν ἐνεκροῦντο, οἱ δὲ ἀφανῶς τιτρωσκόμενοι ἀθρόον τῶν πληγῶν ἠλευθεροῦντο. τοῦτο δὲ ἄρα ἐκεῖνο τὸν ἐμὸν Ἰησοῦν ἐδήλου, φασίν, καὶ ἐσήμαινεν, ὃν ἐπὶ ξύλου κατιδοῦσαι τοῦ σταυροῦ αἰωρούμενον αἱ μὲν αὐτίκα νενέκρωντο καὶ ἄπνοι γεγόνασι καὶ τὸν κατὰ ἀνθρώπων αὐταῖς σεσωρευμένον τῆς κακίας ἰὸν εἰς κενὸν ἐμοῦσι καὶ ἀποπτύουσιν· οἱ δὲ εἰς αὐτὸν ἡμεῖς ἀποβλέποντες τὰς ἐξ αὐτῶν φερομένας πυρφόρους ἀκίδας, οἱ μὲν παντελῶς οὐ δεχόμεθα, οἱ δὲ καὶ βληθέντες σωζόμεθα. ὁ δὲ τῶν ὄφεων προστάτης δράκων, τοῦ κρεμασθέντος ἐπὶ ξύλου τὴν ἰσχὺν ἐννοῶν καὶ τῶν ἐκεῖθεν ἀφεθέντων αὐτῷ μεμνημένος βελῶν, ἄψορρος οἴχεται, φόβῳ πληγῆς παλαιᾶς νέαν ἀεὶ συμφορὰν ὀδυρόμενος. ὁρᾷς, ὡς οὐκ ἀσφαλές, οὕτως εἰκῇ τε καὶ ἀορίστως νοεῖν τὰ ὑπὸ τοῦ νομοθέτου λεγόμενα;

*Εἶσῃ δὲ κἀκεῖνο, ὦ βασιλεῦ, εἴ γέ που μέμνησαι, ὅτου χάριν ποτὲ πρὸς τὸν Ἰσραηλίτην ὁ νομοθέτης λεὼν ἐχαλέπηνεν; Ο ΒΑΣΙΛΕΥΣ.* οἶδα ὡς πολλάκις, ὅτου δὲ νῦν ἐμνήσθης οὐκ οἶδα. *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* ὅτε τὴν χρυσῆν τοῦ μόσχου κεφαλὴν ἐσχεδίασεν, ὡς ὀρθότατα αὐτοῖς ἐχαλέπηνεν. ἐπιλαθόμενοι γὰρ τὴν ἐν Αἰγύπτῳ θαυματοποιαν τὴν ἐν θαλάσσῃ μεσοπορείαν, τὴν πρωτοτόκων ἀθρόαν τελευ-

4 ἀπαγορεύειν V *corr. vulg.* 13 ἐωρούμενον V *corr. vulg.* 14 αὐτοῖς V *corr. vulg.* 30 μεσοπορείαν *vulg.* μεσηπορίαν V: μεσηπειρίαν?



Digitized by Google

τήν, την τῶν στοιχείων μεταβολήν, ὡς ὁ νομοθέτης ἐπέτρεπε τοῦ μόσχου τὸ κάρα θεὸν ἀνηγόρευσαν. μή τι οὖν τοῦτό σοι πλημμελεῖν δοκῶσιν, ἢ ὁ νομοθέτης αὐτοῖς ἐγκαλεῖ, ὅτι μόσχον εἰκῇ καὶ ἁπλῶς ἀνευπώσαντο; Ο ΒΑΣΙΛΕΥΣ. διὰ τί; Ο ΠΑΤΡΙΑΡΧΗΣ. ὅτι εἴπερ ἐκείνοις κατὰ τοῦτο μεμψώμεθα, καὶ Σολομῶντος κατηγορήσωμεν, ὡς βόας καὶ αὐτοῦ πλαστουργήσαντος. οὐκοῦν κατ' ἐκεῖνο καὶ ἡμεῖς τοῖς ἀνδράσι μεμφόμεθα καὶ ὁ νομοθέτης ἐγκέκληκεν, ὅτι τὸν βοῦν θεὸν ἀνηγόρευσαν καὶ τὴν ἐπ' Αἰγύπτου σωτηρίαν εἰς αὐτὸν ἀσεβῶς ἀνετίθεσαν. οὐχ ὁμοίωμα γοῦν ποιεῖν ἁπλῶς διεκώλυσεν, ἀλλὰ θεοῦ ποιεῖν ὁμοίωμα. διὰ τοῦτο καὶ ὁ λόγος γέγραφεν, ὡς τὰ χρυσᾶ τῶν γυναίων ἀφελόντες ἐλλόβια τὴν χρυσῆν ἐκείνην εἰργάσαντο κεφαλὴν τοῦ μόσχου· ὑποθηλῶν, ὡς οἶμαι, καὶ αἰνιττόμενος, ὡς ἡ τῶν ἀνθρώπων ἐκείνων ἀκοὴ παραλαβοῦσα τοὺς περὶ θεοῦ ἀκιβδήλους λόγους, εἶτα εἰς ἑτέρας ἐκπεσοῦσα δόξας ἀπεκόσμησε καὶ ἐγυμνώθη, καὶ τὸν ἐκβληθέντα τοῖς αὐτῶν ὠσὶ κόσμον ἀφῄρηται. ἀλλὰ καὶ ὁ νομοθέτης, ὡς αὐτός φησιν ὁ λόγος, καταλεάνας τὸν μόσχον καὶ ἐπισπείρας τῷ ὕδατι, ἐπότισεν αὐτὸν τὸν λεών. τί τοῦτο δηλῶν; ἰδών, ὡς οἶμαι, τοῦτον τὴν περὶ εἰδώλων ἀγνοοῦντα πλάνην καὶ μὴ νενοηκότα τὸ μέγεθος ὅσον ὑπάρχει τῆς βλάβης, τοὺς περὶ αὐτῆς λόγους λεπτύνας καὶ περιξύσας καὶ καταληπτοὺς ποιησάμενος ἐδίδαξεν αὐτούς, καὶ τὸν λεὼν ἐπότισε, καὶ ταῖς καρδίαις γε ἔνδον ἐνέβαλεν, ἵνα μὴ ἄγνοιά τις ἀσεβείας ῥᾳδίως αὐτοῖς περιπίπτοι.

Ἀλλὰ γὰρ ἐρομένῳ μοι κἀκεῖνο λέγειν. Ο ΒΑΣΙΛΕΥΣ. ποῖον δή; Ο ΠΑΤΡΙΑΡΧΗΣ. οὐκ ἀνθρώποις ἔθος καὶ δημιουργοῦσι πολλάκις λέοντας βλοσυροὺς δεινὸν ὑποβλέποντας, ἢ σῦς ἀγρίους τὴν χαίτην ἐπιφρίσσοντας, ἢ ὡς ἐν πεδίῳ καὶ ὄρεσιν ἵππους ἐμπρεπῶς διαθέοντας, ἢ ὀρνέων εἴδη κελαδεῖν δοκούντων, ὡς τὴν ἀκοὴν ὑποσχεῖν πολλάκις ἵνα τῆς φωνῆς ἐπακροάσειαν; καὶ ταῦτα ἄνθρωποι οἱ μὲν τοίχοις

ἐγγράφουσιν, οἱ δὲ πέπλοις ὑφαίνουσιν, ἤδη δὲ ἔνιοι καὶ χαλκοῦς καὶ χρυσοῦς πλαστουργήσαντες θυμηδίας καὶ ὥρας χάριν, ἢ ἐν οἴκοις ἱστῶσιν, ἢ ἐν ἀγοραῖς ἀνατίθενται. τί οὖν; ταῦτα ἀνθρώπους ἢ τῶν ἀνθρώπων ἐλυμήναντο βίον, εἰ μὴ κατὰ τὴν τῶν Ἑλλήνων ἀσεβῆ τερθρείαν τὰ πεποιημένα θεὸν ὀνομάσωσιν; εἰ δέ τις ἄφρων ἀνὴρ δαιμόνων πλάνῃ πειθόμενος θεόν τι τούτων ἡγήσεται, οὐκ ἂν αὐτίκα ἢ λίθοις βαλούμεθα ἢ πυρὶ καταφλέξομεν ἢ θηρίων στόμασιν ὠμοβόροις παρέξομεν;

Μία οὖν ἐστιν ὁδός, ω βασιλεῦ, τοῦ καλῶς βουλεύεσθαι εἰδέναι τε καὶ ἐπίστασθαι, ὡς ἐπὶ μόνου θεοῦ τὰς εἰκόνας τελεῖν ὁ νομοθέτης εἴρξέ τε ἡμᾶς καὶ ἐκώλυσε. καὶ εἰ τοῦτό φαμεν, οὔτε τοῖς πάλαι κατὰ τὸν νόμον πολιτευσαμένοις μεμψόμεθα, οὔτε Χριστιανοὶ πλημμελοῦμεν, μαρτύρων ἢ ἄλλως ἀνθρώπων ὁσίων τελοῦντες εἰκόνας καὶ τῷ φαινομένῳ δηλοῦντες αὐτῶν τὰ μὴ φαινόμενα. καί, εἴ μοι πείθηται πᾶς εὐσεβεῖν βουλόμενος, οὕτω διακριτέον καὶ διοριστέον τόνδε τὸν λόγον, καὶ ὡς δύο τινὰς ὅρους θετέον, οὓς ἀνατρέπειν τε καὶ συγχεῖν οὐχ οἷόν τε. *Ο ΒΑΣΙΛΕΥΣ.* πῶς καὶ τίνα τρόπον; *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* ὡς θεοῦ εἰκόνας οὐ ποιητέον, ἀλλὰ καὶ εἴ τις ἐγχειροῖ τι τῶν τοιούτων, ὡς τῶν Ἑλληνικῶν κοινωνὸν δογμάτων ποιναῖς ὑποβάλλειν ἐσχάταις· ἀνθρώπους δὲ ὁσίους γραπτέον, τῇ πρὸς θεὸν παρρησίᾳ καὶ τῷ καθαρῷ τῆς ζωῆς ἐναβρυνομένους καὶ μέσους πως ἡμῖν καὶ πορθμέας πρὸς αὐτὸν ἐσομένους καὶ ἀνάγοντας μὲν τῷ θεῷ τὰ αἰτούμενα, κατάγοντας δὲ ἡμῖν ἀπὸ θεοῦ τὰ διδόμενα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν εἷς, ὦ βασιλεῦ, τῶν θεῷ προσιόντων, ἢ ἀπὸ θεοῦ τιμωμένων ὁ τρόπος· ἀλλ' ἡ παρρησία συμμετρεῖται τῷ βίῳ, καὶ τῇ πολιτείᾳ κατάλληλος ἡ ἀντίδοσις ἔπεται. Θεὸς μὲν γὰρ ὢν ἀεί, γένεσίν τε οὐκ ἔχων· τὸ δὲ οὐκ ὂν ἀεί, γενόμενον δὲ ὕστερον, τὴν γένεσιν

8 καταφλέξαιμεν V *corr. vulg.*



Digitized by Google

ἐκ τοῦ ὄντος ἐδέξατο. καὶ κατὰ τόνδε μὲν τὸν λόγον, δοῦλον ἂν καλοῖτο Θεοῦ πᾶν τὸ ἀεὶ γινόμενον· τὸ γὰρ γεγονὸς δοῦλον ἂν δικαίως τοῦ πεποιηκότος νομίζοιτο. τῇ δὲ πρὸς Θεὸν οἰκειώσει καὶ τῇ διαφορᾷ τῆς ἐκεῖθεν αἴγλης, διάφορός τε καθ' ἕτερον τρόπον προσηγορία καὶ κλῆσις τοῖς προσερχομένοις ἐντίθεται. ὅσοι μὲν γὰρ φόβῳ κολάσεως τῶν πλημμεληματῶν ἀπέχονται, οὗτοι θεράποντες ἂν λέγοιντο Θεοῦ, μαστιγίαι τινὲς ἀληθῶς καὶ δοῦλοι, πληγῶν καὶ εἱρκτῆς καὶ τῶν ἐπ' αὐταῖς ἀπειλῶν, ἵνα μὴ ἁμάρτωσι, χρῄζοντες· οἱ δὲ μελλόντων ἀγαθῶν ἐλπίδι πρὸς τὸ ἀγαθὸν νεύσαντες, οἰκέται μὲν οὐκ ἂν ὀνομάζοιντο, μισθωτοὶ δ' ἂν εἶεν, ὡς ἄν τις φαίη, Θεοῦ κέρδους ἕνεκά του καὶ μισθοῦ τὰ δέοντα πράσσοντες. ὅσοι δ' αὖ τούτοις ὑπεραναβεβηκότες καὶ πρὸς τὸ καλὸν ἀκραιφνῶς φανέντες, οὐ προσδοκωμένης φόβῳ κολάσεως, οὐ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι πρὸς τὸ ἀγαθὸν ἥττουσιν, ἀλλὰ δι' αὐτὸ τὸ καλὸν τὸ καλὸν κατεργάζονται, οὗτοι τῶν ἀκηράτων τῆς σοφίας θησαυρῶν ἐμπλησθέντες υἱοὶ Θεοῦ καλοῖντ' ἂν δικαίως, Θεοῦ κληρονόμοι καὶ συγκληρονόμοι Χριστοῦ χρηματίζοντες· οἳ καὶ ἄνθρωποι πεφυκότες ὑπὲρ ἀνθρώπων Θεὸν τῶν ἁπάντων πλέον ἱκετεύοντες πείθουσι, καὶ τόνδε μὲν ἔτι πολοῦντες τὸν ἀλήμονα καὶ ἄτακτον χῶρον, μάλιστα δὲ τότε γυμνωθέντες ῥακίων, καὶ τὴν ὀστέϊνην καὶ βρίθουσαν ἀποτιναξάμενοι κόνιν, τῇ ὕλῃ τὴν ὕλην προσρίψαντες πρὸς τὸν ἵλεών τε καὶ ἀγαθὸν δεσπότην καθαροὶ καθαρῶς ἀναδράμωσιν.

*Ο ΒΑΣΙΛΕΥΣ.* τί οὖν; τῶν Ἑλληνικῶν οὐ κοινωνοῦσι δογμάτων οἱ τῶν ὁσίων, ὡς ἔφης, ἀνθρώπων δημιουργοῦντες εἰκόνας; *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* οὐχ οὕτως ἁπλῶς κατηγορητέον αὐτῶν, ἀλλὰ σκοπητέον καὶ διερευνητέον. *Ο ΒΑΣΙΛΕΥΣ.* πῶς Χριστιανοὶ τὰς τοιαύτας δημιουργοῦσιν εἰκόνας; πῶς γράφουσιν; *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* μή, βασιλεῦ, τῆς ἀρρήτου

22 ῥακκίων V *corr. vulg.*

Digitized by Google

καὶ ὑπὲρ οὐσίαν μεταδιδόασι τοῖς γραφομένοις οὐσίας; *Ο ΒΑΣΙΛΕΥΣ. Οὐδαμῶς. Ο ΠΑΤΡΙΑΡΧΗΣ. Τί δέ*; ὡς τῆς πρώτης καὶ ἀνωτάτω λαχόντας τιμῶσιν αἰτίας; *Ο ΒΑΣΙΛΕΥΣ. Οὐ δῆτα. Ο ΠΑΤΡΙΑΡΧΗΣ. Θνητοὺς δὲ αὐτοὺς φρονοῦσιν ἀνθρώπους; Ο ΒΑΣΙΛΕΥΣ. Ναί. Ο ΠΑΤΡΙΑΡΧΗΣ. Τίς οὖν ἡ μέμψις, εἰ ὡς ἀνθρώπους εἰδότες, ὡς ἀνθρώπους γραφῇ παραδίδομεν; καὶ τὴν Θεὸς προσηγορίαν, ἐξαίρετον οὖσαν καὶ τοῖς γεγονόσιν ἐπιτεθῆναι κυρίως φύσιν οὐκ ἔχουσαν, ἐπὶ τῆς πάντων ἐξῃρημένης ἐῶντες οὐσίας, ὡς αὐτῷ μόνῳ μόνην ἁρμόζουσαν, ἐκείνην μὲν οὐ τύποις καὶ χαρακτῆρσι συγγράψομεν; πῶς γὰρ γράψομεν ὃ τοῖς ὀφθαλμοῖς οὐ γινώσκομεν; μαρτύρων δὲ ἢ ἄλλως ἀνδρῶν ὁσίων ταῖς εἰκόσι χρησόμεθα, οὐ Θεοὺς φρονοῦντες (μὴ οὕτω τῶν δεόντων ἐκπέσοιμεν), ἀλλὰ Θεοῦ οἰκέτας εὐγνώμονας, ἵνα καὶ τῆς ἀνδρείας αὐτοὺς ἀμειψώμεθα, καὶ ὅσα δεῖσθαι τοῦ βασιλέως ἀδυνατοῦμεν ὑπὸ πλημμελημάτων ἀγόμενοι, ὡς δορυφόροι τοῦ βασιλέως ὑπὲρ ἡμῶν ἐκπροσώπως ἀνάγωσιν.

*Εἰ δέ σοι δοκεῖ καὶ ἐξ ἀνθρωπίνων ἐξεταζέσθω παραδειγμάτων ὁ λόγος. ἆρα οὐχ ὁμολογεῖσθαι φής, ὡς ὁ τόδε τὸ πᾶν τεκτηνάμενος, κυβερνήτης ὢν ἀγαθὸς καὶ τῆς τῶν ἐν αὐτῷ πλεόντων προνοῶν γαλήνης, ἵνα μὴ ἀνερματίστου δίκην ὁλκάδος ὑπὸ τῶν ἀνθρώπων ὠθούμενοι ἐν τοῖς τοῦ βίου πλέξοιντο κύμασιν, ὥσπερ εἰκόνα ἑαυτοῦ καὶ τύπον ἐπὶ γῆς βασιλέα ἔστησεν; Ο ΒΑΣΙΛΕΥΣ. Ναί. Ο ΠΑΤΡΙΑΡΧΗΣ. Ὁ δὲ (Θεὸς μὲν οὐκ ὤν, μιμεῖσθαι δὲ Θεόν, ὡς δυνατὸν ἀνθρώπῳ, βουλόμενος, ἐπειδὴ περιγραπτός τέ ἐστι καὶ ἁπλῶς ἄνθρωπος) χειροτονίαις ἀρχόντων ἑτέρων τῆς ἑαυτοῦ παρουσίας τὴν πολιτείαν ἐμπίμπλησιν, ἵνα καὶ ἀπὼν πᾶσι παρῇ καὶ πόρρω διεστὼς παρόντα ἐπάγει τοῖς ἀρχομένοις τὸν φόβον. τί οὖν; ἀνέξεται πώποτε, εἰ τοὺς ἐξ αὐτοῦ πρὸς τὸ ἄρχειν ἀρχθέντας βασιλέας προσείποιμεν, ἢ τῆς προσηγο-*

3 αἰτίας] οὐσίας? *cf. p.* 185, 15 22 ὠθούμενον V *corr. vulg.* 31 ἀχθέντας?

Digitized by Google

ρίας αὐτοῦ μεταδοίημεν; *Ο ΒΑΣΙΛΕΥΣ.* Οὐ δῆτα. *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* Μέμψεται δὲ ἡμῖν, εἰ τοῖς ἐξ αὐτοῦ χειροτονηθεῖσι καὶ ὡς αὐτῷ δοκεῖ τὰ πράγματα ἄγουσι πρόσιμεν καὶ ἱκετεύομεν, καὶ ὅσας αὐτῷ προσάγειν οὐχ οἷοί τέ ἐσμεν αἰτήσεις δι' ἐκείνων αὐτῷ προσάγομεν; *Ο ΒΑΣΙΛΕΥΣ.* Οὐδαμῶς. *Ο ΠΑΤΡΙΑΡΧΗΣ.* Οὕτως οὖν, βασιλεῦ, καὶ θεὸν νοητέον, χαλεπαίνοντα μὲν εἰ ἑτέρῳ τῆς θεοῦ τιμῆς μεταδοίημεν, ἐπαινοῦντα δὲ καὶ ἡδόμενον, εἰ τοὺς αὐτοῦ οἰκέτας τιμᾶν προελοίμεθα.

Ἀλλὰ γὰρ ταύτης τῆς δόξης συγγενέσθαι καὶ ὁ σοφώτατος φανεῖταί σοι Παῦλος, ἐν οἷς πρὸς Ῥωμαίους ἐπέστελλεν, οὐχ ἁπλῶς εἰκόνας καταιτιώμενος οὐδὲ τοῖς εἰκόσι κεχρημένοις μεμφόμενος, ἀλλ' ὅτι ἠλλάξαντο τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου. τῷ ὄντι γὰρ οὗτοι τολμητέοι τέ εἰσι καὶ ἀνόητοι, οἳ θεοῦ μὲν τύπον ἢ μορφὴν καὶ εἶδος οὔτε εἶδον οὔτ' ἐννοεῖν ἠδυνήθησαν (γηγενεῖς γὰρ ὄντες καὶ σπαρτοὶ καὶ ἀνήροτοι καὶ αἰσθήσεως δοῦλοι καὶ σάρκες, ὡς εἰπεῖν, ἄψυχοί τινες καὶ ἀκίνητοι, ἀποροῦντες, ὅπως ἀΰλως τῷ ἀΰλῳ προσβάλωσι, καὶ μὴ δυνηθέντες τῶν ὁρωμένων ὑπερβῆναι τὴν φύσιν), ἅπερ εἶδον μόνον ὡς θεὸν τετιμήκασιν. ἔνθα καὶ θαυμάσεις ὄντως τοῦ ἀποστόλου εὖ μάλα τὸ βούλημα· τὸ γὰρ ἠλλαξαν, ἴσον ἐκείνῳ, οἶμαι, δηλοῖ καὶ παρίστησιν, ὡς αἱ περὶ θεοῦ ἐνσπαρεῖσαι ταῖς ψυχαῖς ἔννοιαι, ἐξ ἀρχῆς τε καὶ ἄνωθεν παραδόσεις τῶν πρώτων ἀνθρώπων, ἕνα θεὸν ἀληθῆ μόνον ἐγίνωσκον· οἱ δὲ τῆς χθονίας ἐρασταὶ σοφίας ἀφιλοσόφῳ φιλοσοφίᾳ καὶ λόγῳ ἀλόγῳ τῆς εὐσεβείας τὰς ῥίζας τολμηρῶς ἀνασπάσαντες, ἤλλαξάν τε αὐτὰς καὶ ἑτέραν ἐτράποντο, καὶ πολυθεΐας ἐμβεβληκότες φυτὰ προὔδωκαν ἣν εἶχον ἀληθειαν, ἀνθρώπου ὁμοίωμα καὶ πετεινῶν καὶ ἑρπετῶν καὶ ξύλῳ τῷ θεῷ παρασχόμενοι. ἐναλλάττει γὰρ ὃ πρότερον εἶχεν ἀντὶ τοῦ

4 ἱκετεύοιμεν V *corr. vulg.* 15 τολμητέαι?

Digitized by Google

ὄντος τὸ μὴ παρὸν αὐτῷ προαιρούμενος· ὃ δὲ μὴ εἶχεν, οὐκ ἂν ἐναλλάττειν πώποτε ἔλοιτο.

*Ο ΒΑΣ.* Ἆρα οὐ τοῦτό ἐστιν ὃ διεξῇεις, ὡς ἐπὶ μόνου Θεοῦ παραδεκτέον τὸν τοῦ νομοθέτου λόγον, καὶ ὡς ἐπὶ τούτου τὰς εἰκόνας γράφειν ἐκώλυσεν; *Ο ΠΑΤΡ.* Τοῦτό γε ἔφην καὶ λέγειν οὐδέποτε παύσομαι. *Ο ΒΑΣ.* Τί δή; οὐ Θεὸν ἀληθῆ τὸν Χριστὸν κηρύττεις; *Ο ΠΑΤΡ.* Ἔγωγε. *Ο ΒΑΣ.* Χριστοῦ δὲ εἰκόνας οὐ γράφεις; *Ο ΠΑΤΡ.* Πάνυ γε. *Ο ΒΑΣ.* Πῶς οὖν εἰ Θεὸν ἀληθῆ τὸν Χριστὸν κηρύττεις, Χριστοῦ δὲ γράφεις εἰκόνας, εἰ Θεοῦ γράφειν εἰκόνας ὁ νομοθέτης ἐκώλυσεν; *Ο ΠΑΤΡ.* Εὖ σοι γένοιτο, ὦ βασιλεῦ· τὸ γὰρ παρὰ σοῦ κινηθὲν παραστήσει τὸ δόγμα λαμπρότερον. εἰπὲ γάρ, οὐ Θεὸν ἀληθῆ καὶ ἄνθρωπον ἀληθῆ τὸν Χριστὸν κηρύττεις; *Ο ΒΑΣ.* Οὕτως ἔχω. *Ο ΠΑΤΡ.* Ἄνθρωπος γεγονὼς ὁ Χριστὸς οὐ τέλειός ἐστιν ὡσαύτως τοῦτο κἀκεῖνο, καὶ οὔτε τὴν οἰκείαν φύσιν ἐμείωσεν οὔτε ὃ προσέλαβεν εἰς Θεότητος φύσιν μετέβαλεν; *Ο ΒΑΣ.* Καὶ μάλα. *Ο ΠΑΤΡ.* Οὐ συνομολογεῖς δὲ καὶ φής, ὡς ἄλλον μὲν καὶ ἄλλον τὸν Χριστὸν οὐκ ἄν ποτε φαίημεν· τὸν αὐτὸν δὲ ἕνα κατ' ἄλλο καὶ ἄλλο, καὶ ἀπαθῆ καὶ παθητὸν λέγομεν· καθ' ὃ μὲν Θεός, τοῦτο, καθ' ὃ δὲ ἄνθρωπος ὁ αὐτός, ἐκεῖνος; τί δή; οὐ καθ' ὃ μὲν Θεός, ἀόρατός τέ ἐστι καὶ ἀναφὴς καὶ νοούμενος· καθ' ὃ δὲ ἄνθρωπος, καὶ ὁρατὸς καὶ ἁπτὸς καὶ φαινόμενος; οὐχὶ οὖν καὶ Θεὸν ἴσμεν ἀληθῆ τὸν γραφόμενον; Θεὸς γὰρ ἀληθῶς, καὶ σαρκωθεὶς ὁ Χριστός. ἀλλ' οὐ καθ' ὃ Θεὸς τὸν Χριστὸν γράφομεν οὐδὲ κατὰ τοῦτο τὰς εἰκόνας αὐτῷ ἀνατίθεμεν· καθ' ὃ δὲ ἄνθρωπος ἦν ὁ αὐτὸς καὶ ἐπὶ γῆς ἐφάνη ταῖς εἰκόσι κεχρήμεθα. καὶ οὔτε τὸ ὁρατὸν καὶ περίγραπτον τοῖς τῆς ἀορασίας καὶ ἀπεριγραψίας ἀνακομίζομεν μέτροις, ὡς ἂν μὴ τὴν σωτηρίαν διαψευσθείημεν, οὔτε δ' αὖ τὸ ἀναφὲς αὐτοῦ καὶ ἀόρατον καὶ ἀπερίγραπτον τοῖς τῆς ἐπαφῆς καὶ περιγραφῆς καὶ ὁράσεως κατακομίζοντες λόγοις μανιωδῶς διαμορφοῦν ἐπιχειροῦμεν· μᾶλλον δὲ εἰδότες,

Digitized by Google

ὅτι τοῦ ἑνὸς Χριστοῦ πρόσεστι τό τε ὁρατὸν καὶ ἀόρατον, περίγραπτον καὶ ἀπερίγραπτον ἀδιαιρέτως τε καὶ ἀσυγχύτως κατά γε τὰ τῶν, ἐξ ὧν ἐστι, φύσεων ἴδια, ἑκάστῳ κατὰ τὰ προαποδεδομένα τὸ οἰκεῖον ἀπονέμειν μεμαθήκαμεν. καὶ τοῦτο δείξει τῶν γραφομένων εἰκόνων ὁ τρόπος· ἢ γὰρ ἐν φάτνῃ κείμενον γράφουσιν ἢ ὑπὸ τῆς μητρὸς θεοτόκου τρεφόμενον ἢ ὁμιλοῦντα τοῖς μαθηταῖς ἢ παρεστῶτα Πιλάτῳ ἢ ἐπὶ ξύλου κρεμάμενον ἢ ὅσα ἄλλα τοιαῦτα τὴν ἐπὶ γῆς αὐτοῦ παρουσίαν δείκνυσιν· ὧν οὐδὲν ἦν, καθ' ὃ θεὸς ἦν, καθ' ὃ δὲ ὁ αὐτὸς ἄνθρωπος ἦν. εἰ μὲν γὰρ ἄνθρωπος οὐκ ἐγεγόνει ποτὲ οὐδὲ ἀνθρώπου μορφὴν ἢ εἶδος ἐπὶ γῆς ἑκουσίως ἀνέλαβεν, οὐκ ἂν ταῦτα ἐγράφετο οὐδὲ ἐπ' αὐτοῦ χώραν γενέσθαι ἐδέχετο· εἰ δὲ σὰρξ ὁ λόγος ἐγένετο καὶ ἐπὶ γῆς ἐφάνη καὶ ὤφθη ἀνθρώποις ὡς ἄνθρωπος ὁ πρώην ἄσαρκος θεὸς καὶ ἀσώματος, οὐκ ἂν ἀδικοῖμεν, ὡς οἶμαι, ἃ ἑωράκαμεν τῇ γραφῇ σημαίνειν ἐθέλοντες.

*Ο ΒΑΣ. Τί δὲ βούλει περὶ τῆς τῶν ἀγγέλων εἰκονογραφίας λέγειν; οὐδὲ γάρ, οἶμαι, ἐρεῖς, ὡς καὶ τὰς ἀγγέλων οἱ ζωγράφοι γινώσκουσι μορφὰς καὶ πρὸς εἶδος ἐκείνας ἀποβλέποντες γράφουσιν. Ο ΠΑΤΡ. Εἶδος μὲν ἔγωγε ἢ μορφὴν ἀγγέλων οὐτ' ἂν εἰδέναι φαίην αὐτούς, οὔτε ὡς εἰδότας ποιεῖν τὰ γραφόμενα, ἀνθρώπων δὲ αὐτοῖς περιτιθέασιν εἶδος, τῇ γραφῇ, ὡς οἶμαι, πειθόμενοι. Ο ΒΑΣ. Πόθεν τοῦτο φής; Ο ΠΑΤΡ. Οὐκ οἶσθα, ὡς περὶ τῶν τῷ Ἀβραὰμ παρὰ τὴν δρῦν ⟨ὀφθέντων⟩ ἀγγέλων γραφή πού φησιν, ὡς ἀναβλέψας τοῖς ὀφθαλμοῖς Ἀβραὰμ τρεῖς ἄνδρας αὐτῷ παρεστῶτας εἶδε; τί δή; οὐ τοὺς ἐν Σοδόμοις ἀγγέλους ὡς ἄνδρας φαινομένους εἰσήγαγεν; οὐκοῦν οὐκ αὐτοὶ πλάττονται οὐδὲ ἀλόγου τόλμης ἔγγονον αὐτοῖς τὰ γραφόμενα, ἀλλ' οἷοι ὤφθησαν, τοιούτους ταῖς εἰκόσιν ἐγγράφουσιν. Ο ΒΑΣ. Καὶ πόθεν αὐτοῖς ἡ τῶν πτερῶν προσθήκη ἐφεύρηται; Ο ΠΑΤΡ.*

4 προαποδομένα V *corr. vulg.* 24 ὥσπερ οἱ τῶν V *corr. vulg.* 25 ὀφθέντων *add. vulg. om.* V

Οἶμαι ὅλως, ἵνα μὴ ἄνθρωποι τελείως νοοῖντο, τῇ προσθήκῃ τὸ διαλλάττον ἐδήλωσαν. οὐδέ γε αὐτήν, ὡς δοκῶ, τὴν προσθήκην ἀλόγῳ θεωρήσαντες γνώμῃ, ἀλλὰ τὸ ἀεροπόρον αὐτῶν αἰνιττόμενοι καὶ τὴν κατ' οὐρανὸν ἐν θεῷ δίαιταν καὶ τὰς ἐκεῖθεν δι' ἡμᾶς συντόνους καθόδους καὶ τὰς εἰς οὐρανὸν ἐξ ἡμῶν ἑτοίμους ἀνόδους, ἐπτερωμένους αὐτοὺς ὑπογράφουσιν. ἤδη δὲ καὶ Μωϋσέως πτέρυγας ἔχοντα τυπωσομένου τὰ Χερουβὶμ (ἄγγελοι δὲ καὶ ταῦτα· καὶ γὰρ ἁπλῶς τὰς οὐρανίους τε καὶ νοερὰς δυνάμεις ἀγγέλους καλοῦσιν, ὡς Διονυσίῳ δοκεῖ), οὐκ ἀπεικότως, ἡγοῦμαι, τῷ παραπλησίῳ τῶν παραδειγμάτων ἐχρήσαντο. καὶ νυνί, ὦ βασιλεῦ, μνημονευτέον ἐκείνων καὶ ἀπρὶξ τῇ ψυχῇ φυλακτέον, ὡς, εἰ καὶ ἀγγέλων εἰκόνας γράφομεν, κτίσμα πάλιν ἡμῖν τὸ γραφόμενον, καὶ πρόσειμι αὐτοῖς οὐχ ὡς τὴν ἀνωτάτω καὶ πρώτην κληρωσαμένους οὐσίαν (μὴ οὕτω μανείην, ὡς θεὸν νοεῖν τὸ κτιζόμενον), ἀλλ' ὡς συνδούλοις πολλὴν πρὸς τὸν κοινὸν δεσπότην παρησίαν κεκτημένοις διὰ τὸ πλούσιον τῆς ἀρετῆς".

Καὶ ὁ βασιλεὺς τῇ πρὸς ἀπόκρισιν ἀφασίᾳ πιεσθεὶς μόλις νεκρόν τι καὶ ἀπηχὲς ἐφθέγξατο. "ἀλλὰ καὶ πατρικῶν χρήσεων ἐσμὸν οἱ τἀναντία φρονοῦντες ὑμῖν ἐπιφέρουσιν· ὧν μὴ ὑποστείλησθε κατὰ πρόσωπον αὐτῶν τε καὶ ἡμῶν τὴν λύσιν ποιήσασθαι." καὶ ὁ θεσπέσιος πατὴρ ἀπεκρίνατο· "εἴρηται ἡμῖν, ὦ βασιλεῦ, καὶ πάλιν εἰρήσεται, ὡς τοῦ ὑμετέρου προμηθουμένοι κράτους καὶ γραφικῶν καὶ πατρικῶν ῥήσεων τὰς λύσεις θεοῦ διδόντος παρέξομεν· τοῖς δὲ τῆς ἐκκλησίας ἑαυτοὺς ἐξωθήσασι καὶ τῷ ἀναθέματι ἑαυτοὺς παραπέμψασιν εἰς ὁμιλίαν οὐχ ἥξομεν· οὐδὲ γὰρ ἀποσυλᾶν ἢ ἀποκινεῖν τι τῶν συνοδικῶν ὅρων ἢ σφραγίδων βουλοίμεθα. εἰ δέ γε σαφῶς διαγνῶναι θελήσειας, ὡς οὐ πρόπαλαι μόνον ταῦτα πεφρονήκαμεν οὐδὲ μὴν νυνὶ μόνοι λαλεῖν ἐπειγόμεθα, πολὺ δὲ σὺν ἡμῖν ἐπισκόπων τε καὶ μοναζόντων πλῆθος οὐκ ἄσημον ἐπὶ τῇ ὀρθῇ ταύτης τῆς ὁμολογίας ὁδῷ

Digitized by Google

τὸν πόδα ἐρείδουσιν, ἰδοὺ οὗτοι ἐπὶ τῶν πυλῶν τῆς ὑμετέρας αὐλῆς ἑστᾶσιν, οὓς εἰ παρέσεσθαι κατανεύσοιτε, εἴσεσθε καὶ δι' αὐτῶν, μηδεμίαν πρὸς τὸ ἡμῶν διάστασιν ἔχοντας φρόνημα".

Κατανεύει οὖν τούτοις τὴν εἴσοδον· συνεισιέναι δὲ αὐτοῖς τῶν ἐν τέλει κελεύει τοὺς προὔχοντας ἀπηωρημένα τοῖς μηροῖς, ὡς ἕκαστος εἶχε τάξεως, τὰ ξίφη κατέχοντας, οἰόμενος ἐκφοβεῖν τῇ στρατιωτικῇ χειρὶ τοὺς ἀπτοήτους ὁ δείλαιος. εἰσελαύνει οὖν ὁ ἱερὸς ἐκεῖνος ὅμιλος τῆς ἐκκλησίας πρὸς τὰ χρυσόροφα ἀνάκτορα, πολλῇ καὶ ἀρρήτῳ τῇ προθυμίᾳ γανυόμενος καὶ οἱονεὶ θείῳ κέντρῳ τῇ παρησίᾳ νυσσόμενος· καὶ ἐπεί, ἔνθα θαάσσων ἔτι ὁ τύραννος, ἤγγιζον, ὁρῶσι τὸν ἀρχιπολίμενα γεγωνότερόν πως ἀντιφθεγγόμενον καὶ συλλογισμῷ τὸν βασιλέα ὡς νεογνὸν ἤδη παιδάριον παίοντα· ἔνθεν καὶ πρὸς τὸ λέγειν ἐπερρώσθησαν καὶ πᾶσαν ἐξ ἑαυτῶν δειμαίνουσαν δειλίαν ἀπώσαντο.

Πρὸς οὓς ὑπόδρα ἰδὼν ὁ Θυμολέων φησίν· "καὶ ὑμῖν, ὡς ὁρᾶτε, καὶ πᾶσιν ἀλάθητόν ἐστιν, ὡς ὑπὸ Θεοῦ μεσιτεύειν ἐπὶ ταυτηνὶ τὴν μεγαλώνυμον καὶ λογικὴν ποίμνην ἐτάχθημεν, πᾶν σκῶλον ἐν αὐτῇ φυόμενον ὁμαλίζειν καὶ λύειν διὰ σπουδῆς καὶ προθυμίας τιθέμενοι. ἐπεὶ οὖν τινες περὶ τῆς τῶν εἰκόνων καὶ νυνὶ συζητοῦσιν ὑπάρξεώς τε καὶ προσκυνήσεως χρήσεις γραφικὰς ἀντιλεγούσας τούτοις προφέροντες, πᾶσα λοιπὸν ἀνάγκη τὴν τούτων λύσιν ποιήσασθαι· ὡς ἂν τὸ ἡμῖν σπουδαζόμενον (σπουδάζεται δέ, ὡς ἴστε, πάντως ἡμῖν τὸ τῆς εἰρήνης ἐπὶ πάντας ὁμόγνωμον), περαίωσιν δέξηται. τοῖς οὖν διαποροῦσι καὶ τὰς προτάσεις ἐπάγουσι τὸ συμπέρασμα προτείνειν ἐπάναγκες· περὶ γὰρ τούτων καὶ

1 ἐρείδουσαν V *corr. vulg.* 9 ὅμιλος πρὸς τὰ χρ. τῆς ἐκκλησίας ἀνάκτορα V *ut in textu vulg.* ἐκ τῆς ἐκκλ.? 12 ἔνθα θαάσσοντες ὁ τύραννος V ἔνθα θαάσσων ἔτι ὁ τύραννος *vulg.* ἐνθάδε ἄσσοντες τῷ τυράννῳ? 14 συλλογισμὸν V *corr. vulg.* 17 ὑπέδρα V *corr. vulg.*

Digitized by Google

τῷ ἀρχιερεῖ προανεκοινωσάμεθα, νυνὶ δὲ καὶ συμπαρουσιάζοντες ὑμῖν ἐντελλόμεθα, τῶν κεκριμένων ταχεῖαν δοῦναι λύσιν, μήπως ἡ βραδυτὴς σιγῆς ὑμῖν παραιτία γένοιτο καὶ οὐκ εἰς καλὸν ὡς ἀπειθοῦσιν ὑμῖν ἀποβήσεται". οἱ δὲ τοῦ καλοῦ ἀρχιποίμενος ὀπαδοὶ καὶ συμποιμένες κατὰ τοῦ θηριωνύμου καὶ λυκόφρονος Λέοντος τὴν τῶν θείων λογίων φαρέτραν ἑλκύσαντες καὶ τὰ ἐν αὐτῇ τῶν ἐλέγχων βέλη ἀμοιβαδὸν ἐκκενώσαντες ὁλοσώματον αὐτῷ πληγὴν ἀπειργάσαντο. καὶ ἵνα μὴ τὰ ὑφ' ἑκάστου τότε λελεγμένα κατὰ λεπτὸν διεξιόμεν, μίαν ἐκ πάντων, ὡς ἐν περιλήψει, φωνὴν ἐκθησαίμεθα, ἔχουσαν ὧδε.

"Ὅτι μέν, ὦ βασιλεῦ, κρίμασιν οἷς ἀγνοοῦμεν, ἐπὶ τὴν μεγίστην Χριστοῦ ποίμνην μεσιτεύειν ἐτάχθητε, καὶ ἡμῖν καὶ πᾶσιν, ὡς ἔφης, ἀλάθητόν ἐστιν. ὅτι δὲ τὰ ζυγὰ τῆς μεσιτείας ἐξ αὐτῆς ἀρχῆς ὑμῖν ἑτερορρεπῆ διεσκεύασται ἥκιστα τοῖς κρίνειν ὀρθῶς ἐπισταμένοις ἠγνόηται. μεσιτης γὰρ ἐκεῖνος οὐχ ὁ τῇδε ἢ τῇδε παρέλκων καὶ τὴν ἑαυτοῦ θατέρῳ ῥοπὴν χαριζόμενος· ἀλλ' ὁ τὸ ἴσον τοῖς ἐφ' ἑκάτερα προμηθούμενος. εἰ οὖν διαιτῆσαι καὶ λῦσαι τῇ ἐκκλησίᾳ τὰ σκάνδαλα προτεθύμησαι, τί μὴ πρὸς πάντας ἀκλινῆ τὴν ῥοπὴν ἐπιδέδειξαι; ὁρᾷ γὰρ πᾶς ὁ βουλόμενος τοὺς μὲν τὸν ὀρθὸν λόγον πρεσβεύοντας ἀπελαμένους καὶ τοῖς κακουργοῦσιν ἐξ ἴσου τὸν κίνδυνον ὑπομένοντας, τοὺς δὲ τἀναντία θρησκεύοντας ὑμῖν στεργομένους καὶ πάσης τημελείας φαιδρᾶς ἀπολαύοντας. ἢ οὐχ οὗτοι μὲν ἐν χρυσορόφοις αὐλίζονται δώμασιν, ἡμᾶς δὲ καθειργνύντα στενοχωρεῖ τὰ δεσμωτήρια; οὐ τὰ ἐδώδιμα τούτοις τῆς ἀνακτορικῆς δαψιλείας ἀποκεκλήρωται, ἡμᾶς δὲ λιμὸς πιέζει καὶ κόρος ἐνδείας ἐμπίμπλησιν; οὐχὶ πᾶσα βίβλος τούτοις ἀνεῖται πρὸς ἔρευναν, δίκη δὲ τοῖς ἐπιχορηγεῖν ταύτας ἡμῖν ἐπικρέμαται; τί γνωρίζεται μεσιτείας ἐν τούτοις ἐμπύρευμα; τίς ἰσονομίας ἐμπολιτεύεται τούτοις

1 συμπαρουσιάζοντι V συμπαρουσιάζουσι *vulg.*

Digitized by Google

ἀρρέπεια; τίς ἀτρεψία νοὸς ἰσορρόπως τούτοις ἐπιστατεῖ καὶ τηρεῖ τὸ συνειδὸς ἀπαρέγκλιτον; ταῦτα τοίνυν ὁρῶντες καὶ τὸ πολυκλινὲς τῆς ὑμετέρας νεύσεως ἐννοούμενοι καὶ ὡς ἐκ πρώτης ἤδη ἐπιβολῆς ἐρήμην καταδιαιτηθείημεν, τὸ τῆς καθολικῆς ἐκκλησίας σιγῇ τιμῶμεν αἰδέσιμον, ὡς ἂν μὴ τῷ βορβόρῳ τῆς βλασφημίας ἁλῶναι καὶ χρανθῆναι λόγοις ἀκόρεστα κατὰ τῆς οἰκονομίας Χριστοῦ ἀσελγαίνουσιν. ἐπὶ οὖν τῇ οἰκουμενικῇ καταστροφῇ τίς ὑμῖν σώφρονος λογισμοῦ συνέψεται κύριος; ἀφ' ἡλίου γὰρ ἐκβολῶν καὶ μέχρι Γαδείρων καὶ Ἡρακλείων στηλῶν ἡ τῶν ἱερῶν εἰκόνων σεβάζεται πολησις, ἣν οὐ χθιζή τις ἐπίνοια, ἡ Χριστοῦ δὲ πρὸς ἀνθρώπους ἐπιδημία τὸ εἶναι σαφῶς ἐπιφέρεται. ἐπὶ τούτῳ τοίνυν τῷ θεμελίῳ προφήτας, ἀποστόλους καὶ διδασκάλους ἐποικοδομεῖν δεδιδάγμεθα· βασιλεῖς δὲ ὑπείκειν μὲν καὶ στέργειν τοῖς παρ' αὐτῶν κεκριμένοις ἐπέγνωμεν, νομοθετεῖν δὲ καὶ ὅρους τῇ ἐκκλησίᾳ σεσυλημένους πηγνύναι πάμπαν οὐκ ἔγνωμεν. καὶ ὅτι μὲν ἀληθῆ ταῦτα τῷ συνειδότι τῶν ἀκροατῶν ἀφίεμεν τὸ τοιοῦτον κριτήριον. ἐπὶ τοῦ φοβεροῦ γὰρ ἐκείνου καὶ ἀπαραλογίστου δικαστηρίου τοὺς ἑαυτῆς ἐπαινέτας ἡ ἀλήθεια στεφανώσει, τοὺς ἀντιπάλους δὲ τῶν εὐσεβῶν δογμάτων εἰς τὴν τοῦ ψεύδους αἰσχύνην ἀποκρινεῖ καὶ ἀποκρούσεται".

Τούτοις οὖν καὶ πλείστοις ὅσοις καταβροντηθεὶς τὴν διάνοιαν καὶ ὥσπερ ἐκκεκωφωμένος τὰ ὦτα ὑπὸ τῆς τῶν θεσπεσίων ἐκείνων φανεὶς ἀπηχήσεως, ὡς εἰς αὐτὸν ἤδη προσκεκρουκότας ὑποτοπήσας ἀσύγγνωστα, καὶ καθάπερ συκοφαντίαν προφανεστάτην ῥαψῳδηθείς, οὕτω φυγὰς ἀνάνδρως τοῦ ἰδίου λόγου γενάμενος, καθαρὰν τὴν ἧτταν καθωμολόγησεν· οὐ γὰρ εἶχεν ὀρέξαι χεῖρα τῷ ἑαυτοῦ λόγῳ οὐδὲ μὴν ἀντιβλέψαι τολμᾷν πρὸς τὴν τῶν λεγομένων ἀντίρρησιν. καὶ μάλα εἰκότως· ἡ γὰρ ἀλαζονεία καὶ βραχείας ἐξουσίας ἐπειλημμένη τελέως ἔμπληκτον ποιεῖ τὸν ἁλόντα καὶ ἐξίστησι τοῦ φρονεῖν. ἅμα δὲ καὶ ἠπίστατο ἑαυτὸν ἁλώσιμον τῇ τοῦ

λόγου συνεξετάσει· ἄληπτον γὰρ ἤδει κἀκεῖνος οὖσαν καὶ ἀήττητον τὴν ἀλήθειαν. ὅθεν φλυαρίας μὲν ἐξαγωνίους πρὸς ὑπόπτωσιν τῶν ζηλωτῶν ἐκείνων συμφορήσας, οὐ δυνηθεὶς δὲ τὴν ἑαυτοῦ ἧττταν ἀνακαλέσασθαι, τηνικαῦτα τούτους ἀπειλαῖς σὺν τῷ μυσταγωγῷ τῶν βασιλείων ἐξώθησεν. ὦ τῆς πρὸς τὸ χεῖρον τοῦ ἀνδρὸς ἀπονεύσεως. ὦ τῆς τοῦ βελτίονος ἀποπτώσεως. ἐξ ἐκείνου γάρ, ᾗ φησιν ἡ παροιμία, τὴν κατὰ τῆς ἐκκλησίας ἐνδύεται λεοντὴν καὶ φανερῶς τοῖς κατ' αὐτῆς ὁπλιζομένοις συμφράττεται· αὐτίκα γὰρ τοὺς ὅσον ἐπ' αὐτοῖς ἀθλητὰς ἐθελοντὰς ὑπερορίᾳ παρέπεμπεν, ἄλλον ἄλλοσε καταμερίσας καὶ πόρρω που τῶν τῆς ἐκκλησίας ἀποξενώσας ἐπαύλεων· ἔπειθε γὰρ αὐτὸν αὐτοβοεὶ τὸν ἀρχιερέα τοῖς τῆς αἱρέσεως βρόχοις ἑλεῖν καί, εἰ μὴ τοῦτό γε γνώμης, ἑκουσιότητι τὴν τῆς ἱερατείας καταλιπεῖν προστασίαν, ἔχοντα μηδένα τοῦ ἱεροῦ καταλόγου συνέριθον. μόνος οὖν λοιπὸν τὸ τοῦ καιροῦ διαφέρων ἐπίπονον πρὸς τὴν ἄνω συμμαχίαν ἀπέβλεπεν, ταύτην αὐτῷ μονωθέντι συνάρασθαι καὶ ἱπορημένῳ συλλαβέσθαι ὡς μάλιστα.

Ὁρῶν δὲ τὸν ἄνδρα τὰ πρὸς τὴν ἀληθῆ πίστιν ἐξομνύμενον καὶ ἀπειθῆ τὰ πρὸς θεὸν ἤδη δεικνύμενον, γράφει τῇ ἐκείνου συνεύνῳ, ἅτε γυναικί, περὶ τῆς ὀρθῆς ὑπομιμνήσκων αὐτὴν τῶν Χριστιανῶν θρησκείας καὶ πίστεως, καὶ ὡς ἂν πείσοι τὸν βασιλέα καὶ σύνευνον ἀποσχέσθαι τῆς τοιαύτης δεινῆς ἐγχειρήσεως. γράφει δὲ καὶ πρὸς τὸν τηνικαῦτα τῶν δημοσίων χρημάτων ταμίαν ᾠκειωμένον παρ' αὐτῷ τῇ τε παρρησίᾳ καὶ τῷ φρονήματι, μὴ κατὰ τῆς ἐκκλησίας ἐπινοεῖν ἢ κινεῖν τινα σάλον, ἤδη τὸ εἰρηναῖον ἐχούσης καὶ ἀστασίαστον, μᾶλλον μὲν οὖν καὶ τὴν ἐξαφθεῖσαν αὐτῇ παρὰ τῶν τοῦ αἰωνίου πυρὸς ἀξίων φλόγα καταπαύειν καὶ τὴν βασιλέως καθημεροῦν ἀγριότητα. γράφει δὲ καὶ τῷ πρώτῳ τῶν βασιλικῶν ὑπογραφέων τότε τυγχάνοντι (Εὐτυχιανὸς οὗτος

7 ᾗ V *corr. vulg.*

Digitized by Google

ἦν), συναιρομένῳ τοῖς αἱρετίζουσι καὶ τὰ τῆς ὀρθοτόμου πίστεως παραναγινώσκοντι λόγια, ὡς εἰ μὲν οὐ παύσηται διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας, ἀλλ' Ἐλύμᾳ τῷ μάγῳ συμπροαιρεῖται πορεύεσθαι, παρὰ τῆς ἐφόρου δίκης πείσεσθαι λώβην τὰς πρὸς τὸ ζῆν ἀφορμὰς δεινῶς ἐπαλγύνουσαν. ᾧ καὶ ἀνουθετήτῳ φανέντι τὰ τῆς ἀπειλῆς κατελάμβανε. πᾶσα γὰρ ἡ ἐξ ἐκείνου τῷ τάλανι ἐπιμετρηθεῖσα ζωὴ συνεχεῖς ἀλγηδόνας ἐπάγουσα νεκρὸν ἔμπνουν πρὸς τὰ τοῦ θανάτου καθ' ἡμέραν παρίστη προπύλαια. οὕτω θεραπεύειν οἶδε θεὸς τοὺς ἀρρωστίαν τῇ ἐκκλησίᾳ δυσίατον ὑπογράφοντας.

Τούτοις οὖν τοῖς βιωφελέσι τοῦ διδασκάλου καὶ σοφοῖς νουθετήμασι μὴ βελτιωθεὶς ὁ βασιλεὺς τὴν διάνοιαν πρὸς ἓν τοῦτο μόνον ἑώρα, τοῦ καὶ αὐτὸν ἐξῶσαι καὶ τῇ νύμφῃ Χριστοῦ ταλασιουργῆσαι χιτῶνα χηρεύσεως· ἐγχειρίζει γοῦν τὰ τοῦ λόγου τῆς ἐκκλησίας καὶ τὰ τῶν ἱερῶν σκευῶν ἀναθήματα ἀνδρὶ τὴν τοῦ πατρικίου ἀξίαν διέποντι καὶ πάσης τῆς περὶ ταῦτα τὸν ἀρχιερέα δεικνύει φροντίδος ἀλλότριον· οὐ γὰρ ἐνεδίδου, πάντα λίθον, τὸ τοῦ λόγου, κινῶν, ὡς ἂν τὸ τῆς ἐκκλησίας διασαλεύσειεν ἔρεισμα. ὧ πῶς ἐπὶ τὰ ἑξῆς ὁ λόγος, οὐκ ἔχων ὅποι προβήσεται, σιγῆς καταστορέσαι κλίνην προείλετο, καὶ πρὶν ἢ τὰ τῆς νόσου διαγγεῖλαι τοῦ μακαρίου, ἑαυτὸν νοσηλευόμενον δείκνυσιν. εἶχεν οὖν αὐτὸν ὁ σκίμπους ἀσθμαίνοντα ἔκ τινος ἐπισκηψάσης ἐπιρροίας τῷ σώματι καὶ πρὸς τὸ τῆς νόσου δυσαλθὲς ἐκπαλαίοντα. ἀλλ' οὐδὲν οὕτω τὸν δίκαιον ἤλγυνεν, ὡς ἡ κατὰ τῆς ἐκκλησίας ἐπινοουμένη παρὰ τῶν ἐχθρῶν ἐπισύστασις· ἐκείνην γὰρ μόνος αὐτὸς τὴν διαμάχην ὑφίστατο, ταύτῃ δὲ καὶ τὸ τοῦ κοινοῦ παντὸς ἐκινδύνευε πλήρωμα.

Ὠφρύωτο οὖν τὸ κατὰ τῆς ἐκκλησίας συνέδριον καὶ τῇ τοῦ ψεύδους ἀεὶ πιμελῇ λιπαινόμενον ἐζήτει τὴν ἔκρηξιν.

21 καταστορεῦσαι V *corr. vulg.*

ὅθεν πείθουσιν αυθις τὸν παντὶ ἀνέμῳ κακοδοξίας βασιλέα φερόμενον πρὸς διάλεξιν κατασπεῦσαι συνελθεῖν τὸν διδάσκαλον· ὃς ἐπὶ τούτῳ στέλλει Θεοφάνην, τὸν τῆς βασιλίσσης ὁμαίμονα, ᾧ καὶ τὸ βασιλικὸν περιέκειτο ξίφος, ὡς ἂν τὸν ἀρχιερέα πρὸς τὸ τῆς συνωμοσίας ἐκείνης μιαφόνον ἑλκύσειε σύνταγμα. πρὸς ὃν τοῖς προλαβοῦσιν εἰς ἀπολογίαν χρησάμενος, ἤδη δὲ καὶ τὴν νόσον ἔχων συνήγορον, τοῦ πρὸς διάλεξιν συνελθεῖν τοῖς ἀνιέροις ἀπείπατο. οὐ γὰρ ποιμήν, φησί, προβάτων ἔρημος πρὸς λύκους ὁπλίζεται οὐδὲ τῆς ἑαυτοῦ σωτηρίας μόνος προμνώμενος θηριομαχεῖν κατεπείγεται· ἀλλ' ἢ πρὸς μάνδραν ἀσφαλῆ τὸ ποίμνιον σφραγισάμενος καὶ φόβον οὗ ἐστι φόβος μακρὰν ἀπωσάμενος, οὕτω πρὸς τὰ τῶν λύκων συμφράττεται θήρατρα. πῶς οὖν ἐμὲ τῶν ἐμῶν θρεμμάτων χηρώσαντες καὶ ταῦτα βίᾳ τῆς ἀληθοῦς νομῆς ἀπελάσαντες, πρὸς θῆρας μόνον ὑμᾶς προκαλεῖσθε δεινοὺς ἀπομάχεσθαι; οὐ κλέος τοῦτο ποιμαντικῆς κατασχέσεως· ἀλλ' εἰ βούλησθε τῶν πλασμάτων ὑμῶν ἐπιτεύξεσθαι (πλάσμα γὰρ τὰ ὑφ' ὑμῶν πρὸς ἡμᾶς ἀεὶ προτεινόμενα καὶ οὐδεμιᾶς ἀληθείας ἐχόμενον), δότε τῇ ἑκάστου ῥοπῇ τὸ ἑκούσιον, γενέσθω πᾶς τῆς ἑαυτοῦ βουλήσεως κύριος, λελύσθω τὰ δεσμωτήρια, ἀναζευξάτωσαν οἱ ἐν ἐξορίᾳ πικρᾷ πιεζόμενοι, ἀνακαλυφθήτω ὑμῶν τὰ ὑπόγεια βάραθρα, καὶ ἀναδοθήτωσαν οἱ λιμοῦ τραυματίαι καὶ δίψης γενόμενοι παίγνια, καὶ νύκτα φωτισμόν, κατὰ τὸ ᾀδόμενον, ἐν τῇ τρυφῇ ἑαυτῶν ἐντρυφῶντες ὁσημέραι· λαβέτω παῦλαν ἡ μάστιξ, τὰ τῶν θεοφρόνων ἐπιξαίνουσα σώματα. ὡς εἰ ταῦτα γένοιτο καὶ τῷ παντὶ τὴν ἐλευθερίαν ἐγγράψοιτε καὶ τῇ βίᾳ μὴ δῶτε τὰ ἑαυτῆς διαπράττεσθαι, τότε τῶν τῆς ἐκκλησίας προδήλων ἐχθρῶν καὶ τῶν μηδὲν ἱερωσύνης ἐπιφερομένων λείψανον καὶ διὰ τοῦτο ἐπὶ ζητήμασιν ἐκκλησιαστικοῖς ἐγκρίνεσθαι μὴ δυναμένων ἀπεληλαμένων, τοῖς λοιποῖς (εἰ καί τις, ὅπερ

25 μάστιγξ V *corr. vulg.*

ἀπέστω, λελείψεται) εἰς λόγους ἐλθεῖν ἡμᾶς ἑαυτοὺς πείσομεν. οὐ γὰρ ἀνιέροις θέμις πρὸς ἔρευναν ἱερῶν καταλέγεσθαι. εἰπάτωσαν γὰρ οἱ τὰ Κωνσταντίνου πάλαι σεσιγηκότα καὶ κατάδοντα περιέποντες δόγματα, τίς αὐτοῖς ἀξίαν ἐπιτέθεικεν ἱεράν; ἐκ τίνος ἱεροφαντικῆς χειροτονίας γνωριζομένης τοῖς ἐκκλησιαστικοῖς νόμοις κατατετάχθαι φασὶν εἰς βαθμὸν τῶν ἱερουργούντων; εἰ οὖν τάξις αὐτοῖς ἐκκλησιαστικὴ τὸ ἀναξίοις εἶναι μαρτύρεται, τίς αὐτοὺς ἐπ' ἐκκλησίας λέγειν ἀνέξεται; ταῦτα τοῖς στείλασιν ὑμᾶς γνωρισθήτω, καὶ εἰ τοῖς ἡμετέροις καταπεισθέντες ὀφθεῖεν λόγοις, ἰδοὺ καιρὸν καὶ τόπον τοῖς, πρὸς οἷς εὔκαιρόν ἐστι, διαλεχθῆναι ὁρίζομεν· καὶ καιρός, ἡνίκα ἂν θεῷ φίλον τὰ τῆς νόσου ἡμῖν ἐπιλωφῆσαι, καὶ ὑπολειφθῆναι τοῖς ζῶσι δῷ θεός, συνομιλεῖν καὶ συμφθέγγεσθαι· τόπος δὲ τὸ τοῦ θείου λόγου διώνυμον τέμενος, ἐν ᾧ θεὸς κάθηται τὰ τῇ καθολικῇ πίστει ἀνήκοντα διεσμιλευμένως διαιτῶν καὶ τρανῶν δικαιότατα".

Ταῦτα τοῦ ἀγγελιαφόρου τοῖς ὠσὶ τοῦ πέμψαντος ἐνηχήσαντος, καὶ αὐτοῦ δὲ τοῖς τἀναντία συμφρονοῦσι κατὰ μηδὲν ἀποκρύψαντος, πρὸς πᾶσαν αὐτῶν ἀφασίαν τὴν γλῶτταν διήγειρε καὶ τὴν καρδίαν ἐπάχνωσεν, ὡς περὶ ἀδυνάτων καὶ μὴ τελεσθῆναι ἱκανῶς ἐχόντων πραγμάτων ὑπάρχοντα. ὅθεν πρὸς βουλὴν ἑαυτοὺς συναθροίσαντες τοιαῦτα τῷ βασιλεῖ κατὰ τοῦ τῆς ἐκκλησίας προβόλου λέγοντες ἀπέπτυον ῥήματα. "οὐκ ἔστι κατὰ τοῦτον τὸν λόγον τὰ τῷ κράτει σου δεδογμένα καὶ τῇ ἐνδημούσῃ συνόδῳ κεκριμένα πέρας λαβεῖν ἀμφιδέξιον· εἰ γὰρ εὕροι καιρὸν ἡ ἑκάστου ῥοπή, ὅποι τρέπεσθαι βούλοιτο, καὶ οἱ τῇ ἐξορίᾳ κατακριθέντες ἀνακομιδῆς ἐπιτεύξαιντο, καὶ πᾶς τις τῆς οἰκείας αἱρέσεως μηδεμιᾶς ὑπούσης βίας γένοιτο κύριος, τάχα γυμνοὶ καὶ μόνοι περιλειφθείημεν. ἐκείνῳ γὰρ πᾶσα γνώμη ἑκουσιαζομένη ὡς

12 καιρὸς *vulg.* καιρὸν V 12 ἐπιλωφῆσαι *vulg.* ἐπιλωφήσοι V 14 τόποις V 15 κάθηται *vulg.* καθιεῖται V 29 γένοι V *corr. vulg.*

Digitized by Google

τάχος συνέψεται καὶ τὰ καθ' ἡμᾶς πάσης βοηθείας ἐκτὸς περιστήσεται, καὶ μάλιστα τὴν πρὸς τοὺς προκρίτους ἀναινομένῳ διάλεξιν· τοῦτο γὰρ οὐ τὴν τυχοῦσαν ἀνατροπὴν ἡμῖν προξενήσειεν. ἅλις οὖν τῆς προκλήσεως· ἤδη γὰρ τρίτην ταυτηνὶ προτροπὴν πεποιήμεθα πρὸς αὐτόν, καὶ αὐθαδείᾳ πειθόμενος οὐκ ἀπήντηκεν. ἀλλ', εἰ δοκεῖ, συνοδικῇ αὐθεντίᾳ χρησάμενοι τὰ τοῖς ἀπειθοῦσι δῆλα διὰ γράμματος αὐτῷ καταστήσαιμεν, ἀπαντῆσαι καὶ ἀπολελογῆσθαι, ὑπὲρ ὧν ἡ σύνοδος κατ' αὐτοῦ ἐγκέκληται". γράφουσιν οὖν τινα ταπεινὸν καὶ χωλεύοντα τόμον πρὸς τὸν τῆς ἐκκλησίας ἀρχηγόν, τοῖς ἀχειροτονήτοις παρεστάναι κελεύοντα καὶ περὶ τῶν βεβουλημένων αὐτοῖς διευθύνεσθαι. ὃν ἐπιφορτίσαντες ἐπισκόποις τισὶ καὶ κληρικοῖς χειροτονίας ἄτερ τυγχάνουσι πρὸς τὸν λαμπτῆρα τῆς ὀρθοδοξίας ἐκπέμπουσι, συζεύξαντες αὐτοῖς ὄχλον ἀγυρτώδη καὶ ἀγοραῖον καὶ τῆς αὐτῶν βδελυρίας ἐπάξιον. ὡς δὲ πρὸ πυλῶν τοῦ τῆς ἀρχιερωσύνης σκηνώματος ἔστησαν, ἀνηνέχθη τῷ μεγάλῳ ἀρχιερεῖ τὸ τῆς παρουσίας αὐτῶν φορτικώτατον μήνυμα. ὁ δὲ καὶ πρὸς αὐτὴν τὴν τῶν κακοφρόνων θέαν ἀχθόμενος (τοιοῦτον γὰρ αἱ καθαραὶ φύσεις πρὸς πᾶν ὁτιοῦν ἀλλοτρίως τῆς ἀληθείας ἔχον ἀηδιζόμεναι), οὐκ εἶχε γνώμης αὐτοῖς εἰς ὁμιλίαν ἐλθεῖν. ἀκουσίῳ δὲ βίᾳ ὑπὸ τοῦ πεπιστευμένου τὴν αὐτοῦ φρουρὰν πατρικίου νυσσόμενος, μὴ ἀποπέμπειν τούτους εἰς τοὐπίσω ἀπράκτους καταινοῦντος, ὀψὲ καὶ μόλις αὐτοῖς ἐπαφῆκε τὴν εἴσοδον.

Εἴσω δὲ γενομένους οὐδὲ τὸ τῆς νόσου τοὺς δειλαίους κατῄδεσε δυσαλθές, ἀλλὰ τῇ συντρόφῳ ἀναιδείᾳ χρησάμενοι τὰ τῷ ἀτόμῳ ἐκείνῳ τόμῳ κεχαραγμένα τραγικῶς εἰπεῖν ὑπεκρίναντο. "κατά σου", φησίν, "λιβέλλους ἡ σύνοδος δεξαμένη, προς λύσιν τούτων πάσης ἐκτὸς ἀμφιλογίας παρέσεσθαι καὶ ἀπολογεῖσθαι τρανῶς ἐδικαίωσεν. πρὶν ἢ οὖν ἡ

2 προκρίτης V *corr. vulg.* 6 αὐθεντείᾳ V *corr. vulg.*



Digitized by Google

τῆς ἀποφάσεως αὐστηρία διαβᾶσα καθαιρέσεως ἐγκλήμασιν ὑποβάλοι σε πρὸς τὸ τῇ συνόδῳ καὶ τῷ βασιλεῖ δοκοῦν μετατίθεσο φρόνημα, συμφθεγξάμενος ἡμῖν καὶ ὁμογνωμονήσας περὶ τῆς τῶν εἰκόνων ἀποτροπῆς τε καὶ ἀπαρνήσεως· οὕτω γὰρ ἔσται τὸν τῶν λιβέλλων ἀποδιοπομπεῖσθαι μῶμον· ἢ ἐς πλεῖστον ἀπαναινόμενον καὶ ἑτεροφρονοῦντα τῆς τῶν ἐγκαλούντων ἔνοχον εἶναι σαφῶς ἐπικλήσεως, ἣν οὐκ ἄλλως ἀποτρίψασθαι δυνατόν, μὴ οὐχὶ κατὰ πρόσωπον στῆναι καὶ περὶ ὧν οἱ ἔλεγχοι διευθύνεσθαι". ταῦτα οἱ ἀντὶ ποιμένων λύκοι τῷ ἀρχιποίμενι τὰ παλίμφημα παραφθεγξάμενοι καὶ ὑπ' ὀδόντα πως διαψιθυρίσαντες παίγνια (οὐ γὰρ ἔσθενον ἐκείνῳ τῷ καθαρωτάτῳ νοΐ μετὰ παρρησίας ἀντωπεῖν ἢ προσφθέγγεσθαι), σιγῇ τὸ τῆς ἐντροπῆς ἐγκαλύψαντες αἶσχος, τὴν βεβυσμένην ἔστησαν αὐτῶν ἀκοήν, ἱμειρόμενοι, καὶ εἰ δυσμενεῖς τυγχάνοιεν, εἰσδέξασθαι τὸ παρὰ τῆς ἐκείνου γλώσσης ἡδυεπὲς ἐπιφώνημα.

Ὁ δέ, καίτοι τῇ νόσῳ τρυχόμενος, πρὸς αὐτοὺς ὑποφθάσας ἔλεξεν ὧδε· "τίς οὗτος ὁ λιβέλλους ἡμῖν ἐπισείων καὶ τὰς καθ' ἡμῶν ἐναγωγὰς εἰσδεχόμενος; ποίας πατριαρχικῆς εἶναι καθέδρας εὔχεται πρόεδρος; ποίας ποιμαντικῆς φροντίδος ἐπειλημμένος κανονικαῖς ἐνοχαῖς ἡμᾶς ὑποβέβληκεν; εἰ ὁ τῆς πρεσβυτέρας Ῥώμης πηδαλιουχῶν ὁσίως τοὺς οἰακας ἐπικαλεῖ, παρέσομαι· εἰ ὁ τῆς Ἀλεξάνδρου ἱεροκήρυξ ἐπαιτιᾶται, οὐκ ἀπειθήσας ἐφέψομαι· εἰ ὁ τῆς Ἀντιόχου ἱεροποίμην ἕλκει πρὸς κρίσιν, οὐκ ἀπολειφθήσομαι· εἰ ὁ τὰ Ἱεροσόλυμα διέπων εἰς εὔθυναν ἡμᾶς καταστῆναι προσκέκληται, οὐκ ἀπολείψομαι. εἰ δέ γε λύκοι βαρεῖς τὴν ποίμνην ταράξαι προθέμενοι προβάτων δορὰν ὑποκρίνονται καὶ κατὰ τοῦ ποιμένος ὑβρίζουσι, τίς αὐτοῖς καὶ μόνον εἰς θέαν ἐλθεῖν κατανεύσειεν, οἷς καὶ ὁ θεῖος ἀπόστολος τὸ τοῦ κρίματος ἐπεφόρτισεν ἄχθος; ἀλλ' εἰ καί, κατὰ τὸν ὑμέτερον φλήναφον, τῷ τῶν κρατούντων καὶ ὑμῶν προστεθείμεν δόγματι, τὸν τῶν καθ' ἡμῶν λιβέλλων μῶμον ἀποτριψαί-

μεθα· καὶ ποία τάξις ἡμῖν ἀπονεμηθήσεται ὑπευθύνοις οὖσιν, ὥς φατε, καὶ κανονικοῖς ἐαλωκόσιν ἐγκλήμασι; τίς οὖν ὁ αὐθημερὸν καθαιρῶν καὶ ἀνάγων εἰς ὕψος τὸν οὐδὲ κάτω στῆναι δυνάμενον; ἢ ἀμυήτους καὶ ἀνεπιστήμονας περὶ τὴν τῶν θείων ἔρευναν ἡμᾶς ὑπειλήφατε; τὸ μὴ τοῖς ἱερωμένοις οἷόν ἐστι κρῖμα λογίζεσθαι; ἀλλ' ὄντως πρὸς τὴν τούτων παρόρασιν καὶ πρὸς μόνην παράβασιν ἕτοιμον ἡ ἀσέβεια τοὺς αὐτῇ πειθομένους εἰς ᾅδου καθέλκουσα πέταυρον. ἀποχωρεῖτε οὖν ἀφ' ἡμῶν, ἐργάται τῆς ἀνομίας· πρὸς τὸν ἴδιον ὑμῶν ἔμετον ἀποστράφητε, πρὸς τὰ τῆς ληστείας ὑμῶν ἀνατράπητε σπήλαια. οὐ γὰρ αἱρήσετε τοὺς ἐπὶ τῇ πέτρᾳ τῆς ὀρθῆς ὁμολογίας τὸν νοῦν ἀπερείσαντας, οὐ καταβαλεῖτε τοὺς ἐν τῷ ὕψει τῶν συνοδικῶν ὅρων ἑαυτοὺς ἐπιστήσαντας· ἀλλ' ἐν ὑμῖν αὐτοῖς συντριβήσεται τὰ τῆς αἱρέσεως κύματα, μηδεμίαν τῇ καθολικῇ ἐκκλησίᾳ κατάκλυσιν προσπελάσαντα".

Ταῦτα πρὸς τοὺς κενοὺς μὲν φρενῶν, πλήρεις δὲ ἀφροσύνης δυναμένους διεξελθὼν ὁ μακάριος προσετίθει καὶ ταῦτα· "εἰ μὲν ἐρημίᾳ ποιμένος ἀπρομήθευτος ὁ θρόνος οὕτωσὶ καταλέλειπτο, οὐδενὶ τῶν πάντων ἐξῆν εὐπρόσωπον σόφισμα παραδιδάσκειν ἢ παρασυνάγειν, καὶ ἐξ ἀλλοδαπῆς ἐπὶ τὰ μὴ προσήκοντα αὐτῷ μετέρχεσθαι ὅρια· ἐπειδὴ δὲ καὶ παρουσίᾳ ποιμένος μεγαλαυχεῖ καὶ τοῦ προστατοῦντος αἰσίως οὐ διαμαρτάνει, τίς ὑμᾶς τῆς ἐκ τῶν κανόνων ἐπιτιμίας ἐξαιρήσεται λόγος, ἐπὶ κεχρυσωμένῳ καὶ ἠργυρωμένῳ καὶ τιμίοις λίθοις, ἀποστολικοῖς καὶ πατρικοῖς, φημί, λογίοις, θεμελίῳ πεποικιλμένῳ, ξυλώδῃ καὶ χορτώδῃ καὶ καλαμίνῃ ἐποικοδομεῖν κακοπιστίαν ἐθέλοντας; ὥστε δίκαιον ἂν εἴη καὶ αὐτῆς τῆς τῶν ἱερῶν κανόνων ἀκριβείας ὑποδίκους ὑμᾶς ἀποφῆναι οὕτω πρὸς τὰ ἐναργῆ καὶ δῆλα μαχομένους καὶ ἀνοηταίνουσι καὶ δεσμοῖς ἀϊδίοις ὑποβαλεῖν εὐκαιρότατα". τὸν οὖν κανόνα τούτοις ὑπαναγνοὺς καὶ καθαιρέσεως κατακρίσει περιδεσμήσας,

5 τὸ μὴ] τόλμημα ἐν vulg. post ἱερωμένοις intercidisse videtur δοκοῦν vel simile quid, et ποιον scrib.



Digitized by Google

ἔξω τοῦ θείου περιβόλου γενέσθαι προσέταττεν. οἱ δὲ ὡς ὑπὸ μάστιγος ἐλαυνόμενοι, λύπῃ καὶ μανίᾳ γενόμενοι κάτοχοι, σὺν τοῖς ἑπομένοις αὐτοῖς κωμολόγοις καὶ ἀγύρταις αὐτόν τε καὶ Ταράσιον, τοὺς τῆς ἐκκλησίας ἑδραιοτάτους στύλους, τοῖς ἀναθέμασιν ἔβαλον· οὕτω τε λοιπὸν διὰ τῆς λεωφόρου ἐνασχημονοῦντες οἱ μιαρώτατοι καὶ πρὸς τὰ βασίλεια σὺν τοῖς κατὰ τῶν ἁγίων σκώμμασιν ἤδη φερόμενοι, ἀπήμουν ἐνώπιον τοῦ τε βασιλέως καὶ τοῦ τῆς αἱρέσεως φορυτοῦ, ὅσα ἤκουσαν καὶ ὅσα ἐποίησαν.

Ὡς οὖν τῆς ἑαυτῶν καταδίκης ἐκ τῆς κανονικῆς ἀκριβείας ἐπήσθοντο καὶ τὸ ἀπότομον τῆς ἱερᾶς ἐκείνης ψυχῆς ὑπὸ τῶν οἰκείων ψευδαγγέλων ἀνέγνωσαν, ὑφῆκαν τοῦ θράσους καὶ τῆς πρὸς αὐτὸν ὁμιλίας ἐθελουσίως ἀπείπαντο· ἐφ' ἑτέραν δὲ ἀνοδίαν τραπόμενοι βίᾳ καθελεῖν ἐθρύλλουν τὸν ἅγιον, ἢ λαθραίῳ ὑπεξαγαγεῖν θανάτῳ μελέτην ἐτίθεντο. καὶ εἰ μή τις τῶν τῇ ὀρθῇ δόξῃ προσκειμένων καὶ τῷ κλήρῳ κατειλεγμένων, τὰ τῆς ἐπιβουλῆς ἐκ τῶν τῆς ἀληθείας πεπυσμένος σαφῶς, ἀπεγύμνωσε καὶ τὰ τῆς ἀσφαλείας προιδέσθαι κατέσπευσε, τάχα μετὰ τραγῳδίας ἐχαροτυπήθη καὶ νῦν ὁλοφύρματα. ὡς δὲ καὶ περὶ ταύτην οἱ φονῶντες τὴν δραματουργίαν ἐσφάλησαν (ἡ γὰρ ἄνω θεία ῥοπὴ τὸν ἑαυτῆς ἐφρούρει θεράποντα), τὴν περί γε τοῦ θρόνου βίᾳ καθελεῖν σπουδὴν οὐχ ὑφίεντο, θάνατον ἀπειλοῦντες, κάκωσιν, τὴν τῶν πρὸς τὴν ἀσθένειαν συνοισόντων ἀναίρεσιν· (ἀλλ' οὐκ ἐνδόσιμος ἦν,) στερίσκοντες αὐτὸν τῆς ἐκ τῶν ἔξωθεν τημελείας τῆς ἐν ταῖς συνάξεσι νενομισμένης μνήμης. οὕτω γὰρ τὸ μορμολυκεῖον ἐκεῖνο (ἐκκοπτέσθω γὰρ τὸ βασιλέα καλεῖν αὐτὸν) Ἰουδαϊκῶς τοῖς ἱερᾶσθαι λαχοῦσιν ἐπηπείλησεν, ὡς ἐάν τις αὐτὸν ἀρχιερέα τρανῶς ὀνομάσειεν, ἀποσυνάγωγος γένηται.

Μόνος οὖν λοιπὸν ἐπ' ἐλπίδι κατοικισθεὶς καὶ ταῖς

16 προκειμένων V corr. vulg. 17 ἐκ τῶν ἐχθρῶν τῆς ἀλ.θείας πεπυσμένος?

θλίψεσιν ὑπὸ θεοῦ πλατυνθεὶς ὡς Δαβὶδ ὁ θειότατος, ἐν τούτῳ καὶ μόνον φέρειν οὐκ ἔσθενεν, ἐν τῷ τὴν πολύμνην ὀρᾶν ἠθετηκυῖαν τὸν ἀρχιποίμενα καὶ τοῖς λύκοις γενομένην ὑπόφορον. τί οὖν ἔδει ποιεῖν [ᾧ] πρὸς τῆς ὑμῶν αὐτῶν σωτηρίας; τί διαπράττεσθαι; μέχρι τίνος τῇ δαψιλείᾳ τῶν δυσχερῶν ἐπινήχεσθαι, οὐκ ἐνδιδόναι, οὐ τῷ πονηρῷ καιρῷ παραχωρῆσαι, οὐ τῇ πονηροτέρᾳ ἐξουσίᾳ καὶ τοῖς ταύτην ἄγουσι δοῦναι τόπον, ὡς μή, τόγε εἰς αὐτὸν ἧκον, ἁμαρτίᾳ περιπεσεῖν; καὶ γὰρ καὶ ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ἐφρόντιζε, τὸν διδάσκαλον Χριστὸν ἐν τούτῳ μιμούμενος. ἀλλ᾽ οὐκ ἐκεῖνοι τοιοῦτοί ποθεν, οἵγε κατὰ τοῦ εὐεργετεῖν πειρωμένου ἐπιτιθέμενοι σπουδὴν ἐπεδείκνυντο. οὐ γὰρ καθυφῆκαν κατ᾽ αὐτοῦ κενὰ μελετᾶν καὶ θανάτους ἐπαπειλεῖν, μεσφ᾽ ὅτε τῆς πύλης ἔξω (τῆς ἐκκλησίας φημὶ) ἐξῶσαι καὶ ἀποκτεινύναι ὁμοθυμαδόν, κατ᾽ ἐκείνην καὶ αὐτοὶ τὴν κυριακὴν παραβολὴν λέγοντες, Δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. ὅθεν τῷ ἀθλώτῳ νοΐ προφητικός τις ὢν καὶ βλέπων τὰ ἔμπροσθεν, τὴν πεπωρωμένην αὐτῶν καρδίαν ὁρῶν πρὸς αἵματα λοιπὸν ἀποβλέπουσαν, ἐπιστέλλει τῷ κρατοῦντι διὰ λέξεως ἐχούσης ὧδε.

Καιρὸς ἀπαιτεῖ τὴν ἡμετέραν ταπείνωσιν, εἰς τὴν περίστασιν ταύτην καὶ τὴν σωματικὴν ἀσθένειαν ἐλθόντας, ταῦτα πρὸς τὸ φιλοδίκαιον ὑμῶν κράτος ἀναγαγεῖν. ἕως τοῦ νῦν ἠγωνισάμεθα κατὰ τὴν δύναμιν ἡμῶν ὑπὲρ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας· καί, ὡς δοκοῦμεν, οὐδὲν παρελίπομεν τῶν κεχρεωστημένων ἡμῖν, μήτε πρὸς διάλεξιν τῶν αἰτούντων, μήτε πρὸς διδασκαλίαν τῶν δεχομένων καθυστερήσαντες. ἐπειδὴ δὲ διὰ τοῦτο πᾶσαν θλίψιν καὶ στενοχωρίαν καὶ κάκωσιν ὑπεμείναμεν, ἀτιμίας, φυλακάς, δημεύσεις, τῶν ὑπηρετούντων ἡμῖν τὴν βλάβην· τὸ τελευταῖον ἦλθόν τινες δοκοῦντες εἶναι ἐπίσκοποι καὶ πλείονα τῶν προλαβόντων τὴν

4 ᾧ V ὦ τᾶν *vulg.* 16 Matth. XXI, 18.

ἀτιμίαν ἡμῖν προσήγαγον, ἐπιφερόμενοι ὄχλον ἀγυρτώδη καὶ δημοτικὸν μετὰ μαχαιρῶν καὶ ξύλων, ἐπιστήσαντες ἡμῖν αὐτούς. καὶ αὐτοὶ μὲν πᾶσαν ὕβριν ἀναισχύντως καὶ ἀναιδῶς προσήνεγκαν, μήτε τὸν φόβον τοῦ Θεοῦ ἐν νῷ λαβόντες, μήτε ὡς ἀρχιερέα αὐτῶν ποτε γεγονότα εὐλαβηθέντες, καὶ ταῦτα ἐν ἐσχάτῃ ἀσθενείᾳ κείμενον καὶ τὴν πνοὴν μόνον ἔχοντα· οἱ δὲ ὄχλοι ἐμέ τε καὶ τον προλαβόντα ἀρχιερέα τοῖς ἀναθέμασιν ἔβαλλον, ὅπερ ἡμῖν γέγονεν εὐφημία καὶ ἐγκώμιον μέγιστον. μετὰ ταῦτα πάντα τὰ κακὰ ἠκούσαμεν, ὅτι οἱ τῆς ἀληθείας ἐχθροὶ ἕνεδρα καθ' ἡμῶν συσκευάζουσι βουλόμενοι ἐπιθέσθαι ἡμῖν, καὶ ἢ ἀναίρεσιν ἢ κατένεξιν βιαίαν καὶ θανατικὴν ποιήσασθαι εἰς ἡμᾶς. ἵν' οὖν ἄτοπον μὴ γένηται μηδὲ ἁμαρτία ἀναδράμῃ εἰς τὸ κράτος ὑμῶν (ἐπειδὴ πλείονα διωγμὸν ἐπινοηθῆναι καθ' ἡμῶν οὐκ ἔστιν), ἄκοντες καὶ μὴ βουλόμενοι καὶ διωκόμενοι ὑπὸ τῶν ἐπηρεαζόντων, ἀνάγκη πᾶσα μεταστῆναι ἡμᾶς τοῦ θρόνου ἡμῶν· καὶ ὡς ὁ Θεὸς κρινεῖ καὶ οἰκονομήσει τὰ καθ' ἡμᾶς, στέργομεν καὶ εὐχαριστοῦμεν τῇ ἀγαθότητι αὐτοῦ.

Ταύτην ὡς πληγὴν ὑστάτην ὁ κοπρόνους τὴν ἐπιστολὴν δεξάμενος καὶ μανικόν τι καὶ σαρδάνιον προσμειδιάσας, ἐπὶ τῇ προδιηνυσμένῃ βίᾳ προστίθησι βιαιότερα. τῷ γὰρ φρουράρχῃ πατρικίῳ τοῦ Θεοφόρου πατρὸς στρατιωτικὴν ἐγχειρίσας ἀπόμοιραν, μεσούσης ἤδη νυκτὸς τὸν τοῦ φωτὸς υἱὸν ἐξοστρακίζειν ἐκέλευεν. τί τοῦτο; οὐ τῆς κατὰ Χριστὸν ἐπισυστάσεως διαλλάττει τὸ δρᾶμα καὶ σύνταγμα· οὐδὲ γὰρ ἔξω νυκτὸς ἐκεῖνοι τὰς κατὰ Χριστὸν βολὰς ἢ ἐπιβουλὰς διετίθεσαν, καὶ οὗτοι νύκτα συνήγορον ἔχοντες ἐπ' ἴσῃ προδοσίᾳ τοῦ καλοῦ ποιμένος ἐλέγχονται. ὁ δὲ τὴν ὥραν ἐλκυθυΐαν καὶ τὴν σπεῖραν ἐπ' αὐτὸν ἐμπίδων δίκην καὶ παρνόπων ἀττόντων θεώμενος, αἰτήσας φῶτα καὶ τῆς κλίνης διαναστάς, ὑπερείδειν αὐτὸν ἑνὶ τῶν εἰωθότων προσέταττεν

20 σαρδάνειον V σαρδόνειον vulg. 22 ἐγχειρήσας V corr. vulg.

(ἔτι γὰρ τὸ τῆς νόσου ἤκμαζεν ἄλγημα, καὶ ἡ διοικοῦσα τὸ σῶμα ὑπέμενεν δύναμις)· καὶ τῇ μὲν λαιᾷ τὰ τῆς ἀσθενείας, ὡς ἔφην, ὑπήρειδεν, τῇ δεξιᾷ δὲ τοῦ Θείου ἐπειλημμένος πυρείου τὰς τῶν ἱερῶν ἐκείνων ταμιείων εὐωδίαζε δώματα. φθάσας οὖν εἰς τὸν τοῦ μεγίστου νεὼ περίπυστον κατηχούμενον, ἐν ᾧ πολλάκις παννύχοις ἐλιπάρει τὸ Θεῖον ἐντεύξεσι, δυοῖν λαμπάδοιν ὑφῆπτε κηρῶν, εἶτα τὰ ἐν χερσὶ μεθεὶς ἀνωτέρω τε τῶν ὁρωμένων γενόμενος, τὸ μὲν σῶμα πρηνὲς εἰς γῆν καταβαλών, ὄρθιον δὲ τὴν ψυχὴν ἀνατείνας εἰς οὐρανόν· "καὶ σύ", φησίν, "ὁ ὑπερμεγέθης καὶ ὑπερφυής, ὁ τῶν θαυμασιωτάτων κτισμάτων κύριος καὶ τῆς ἀνεξερευνήτου σοφίας, ἧς βραχὺ μόλις ἐκ τούτων ὑποφαίεις ἴχνος, μόνος εὑρετής, ἐπιφάνηθι φιλανθρώπῳ κηδεμονίᾳ ἐπὶ τὴν μεγάλην καὶ ὑψηλὴν τοῦ ναοῦ σου θαυματοποιίαν, ἐν ᾧ τῶν ἀχράντων καὶ ἀκηράτων μυστηρίων τὰς ὁλοκαρπώσεις δεχόμενος ἁμαρτημάτων ἀπαλλαγὴν τοῖς ἀξίως μετειληχέναι παραστήσασιν ἑαυτοῖς χορηγεῖν ἐδικαίωσας. τοῦτον γὰρ παντὸς σπίλου καὶ μώμου πόρρω τυγχάνοντα τῇ παγκρατεῖ καὶ νῦν χειρί σου παρατίθημι, ὡς παρ' αὐτῆς καὶ πιστευθεὶς τοῦτον καὶ διατηρήσας ὁσίως εἰς δύναμιν, ἐπὶ τῇ πέτρᾳ τῆς ἀληθοῦς ὁμολογίας ἐρηρεισμένον ἐφύλαξα· ὡς τόπος καὶ σκήνωμα τῆς σῆς δόξης τὴν ἑαυτοῦ παγκάλην εὐπρέπειαν διεσώσατο, υἱούς σοι καὶ κληρονόμους διὰ τῆς σεπτῆς κολυμβήθρας πολλοὺς ὑπηγάγετο, διὰ μετανοίας ἀνενδότου τῇ εὐσπλάγχνῳ εὐμενείᾳ σου κρείττους ἀριθμοῦ προσφκείωσε. σοί, σῶτερ, τὴν παρακαταθήκην, εἰ καὶ ἀναξίαις χερσίν, ἐπιδίδωμι, παραχωρῶ τῇ σῇ τῶν κριμάτων ἀβύσσῳ τὰ κατ' αὐτήν, ὡς εὐδοκεῖ, διατίθεσθαι. λέων κατ' αὐτῆς ἐπωρύεται ζητῶν ἁρπάσαι καὶ τοῖς ἑαυτοῦ σκύμνοις ἑτοιμάσαι δαψιλὲς οἰκητήριον· μὴ ἐπινυσταξάτω κατὰ τῆς αὐτοῦ τολμηρίας ὁ παμφαής σου καὶ ἀκοίμητος ὀφθαλμός· γνώτω, τίνι προσκέκρουκεν, καὶ πρὸς ὃν ἀκρατῶς πεπαρῴνηκεν. εἰς λύκων θηριωδίαν τοὺς ποιμένας μετήμειψεν, τὴν πρὸς τοὺς

Digitized by Google

καλῶς ἄγοντας τῶν προβάτων εὐπείθειαν πρὸς ἀπειθείας ἦλοσεν ἀγριότητα· ἅρπασον τῆς αὐτοῦ πλάνης τὸ μὴ προστεθὲν αὐτῷ ποίμνιον· ἀνεθήτω τῶν δεινῶν, ἀπαλλαγήτω τῶν δυσχερῶν. τῆς σῆς χειρός ἐστι κτῆμα· μὴ τοῖς καταπιεῖν ζητοῦσι γένοιτο θήραμα. ἡμᾶς δὲ τοῖς σοῖς ἑαυτοὺς ἐπιρρίψαντας κρίμασι χειραγωγοίης καὶ ὁδηγοίης ὅποι φίλον τῇ σῇ κυβερνήσει παρίσταται. τὴν βίαν ὁρᾷς, ὅσην, κύριε· μὴ τῆς ἐξ αὐτῆς ἐγγινομένης ἀντιδόσεως ἡμᾶς ἀποκλείσειας, μὴ ὡς ἀπείρους καὶ ἀσκεύους ποιμένας ἐλέγξειας· σοὶ γὰρ μόνῳ τὸ ἐπιστημονικῶς ἄγειν καὶ ποιμαίνειν κεκλήρωται. μὴ ῥαθυμίαν κατακριθείημεν, ὡς ταύτῃ προδόντες τὰ τῆς διδασκαλίας βιωφελῆ πρωτοτόκια· τῇ γὰρ κατὰ δύναμιν συνεισφορᾷ καὶ ταῦτά σοι, τῷ πρωτοτόκῳ πάσης τῆς κτίσεως, ἀλώβητα τετηρήκαμεν. χαῖρέ μοι, Σοφία, τὸ τοῦ Θείου λόγου σαφῶς ἀμείλικτον τέμενος, σοὶ τὰ τῆς ὀρθοδοξίας ἐπιτίθημι κλεῖθρα μοχλοῖς αἱρετιζόντων οὐδαμῶς συντριβόμενα. σοί, τῇ σφραγῖδι τῆς εἰλικρινοῦς ὁμολογίας, τὰ τῶν πατέρων ἀσφαλισάμενος δόγματα καταπιστεῦσαι καλῶς προτεθύμημαι, μηδαμῶς ταῖς αἱρετικαῖς ἀντιστροφαῖς συληθῆναι δυνάμενα. χαῖρέ μοι, καθέδρα, ἐφ' ἧν οὐκ ἀβιάστως ἐπέβην, καὶ ἧς νῦν ὑποχωρῶ βιαιότερον. χαίρετε, σηκοὶ μαρτύρων Θεόληπτοι, τοῖς εὐαγγελικοῖς καὶ ἀθλητικοῖς χαρακτῆρσιν ἐγκαλλυνόμενοι, ἐφ' οἷς οἱ ἀφραίνοντες ἐπιβαλοῦσι μὲν βεβήλους χεῖρας, οὐχ ὑφελοῦσι δὲ τὴν ἐκ τῆς ἀηττήτου χειρὸς αὐτοῖς ἐπηρτημένην ἀντίδοσιν. χαῖρε καὶ σύ, Θεοῦ μεγαλόπολι, καὶ ὅσοι τοῖς ὑγιέσιν ἐν σοὶ καὶ πατρικοῖς ἐπερείδονται δόγμασιν, οὓς τοῖς Θεοῦ καὶ σοῖς ὑποβέβληκα πτέρυξιν, μή τι κακίας πτερὸν ἀπαγάγοι τῆς σῆς περιθάλψεως".

a. 815 Οὕτω τὰ τῆς εὐκτικῆς ἱερολογίας ἀνενέγκας καρπώματα τῷ φορείῳ ἑαυτὸν ἐπιδίδωσι, καὶ τὴν ἐφ' οἷς ἄγειν ἐβούλοντο πορείαν οἱ βιασταὶ καὶ ἄκων ἐστέλλετο. Θάλασσα δὲ

12 πρωτοτόκεια V πρωτοτοκεῖα *vulg.*

Digitized by Google

τὰ νῶτα ἑαυτῆς ὑφαπλώσασα ἀκατίῳ τὸν δίκαιον ὑπεδέχετο καὶ πρὸς τὴν ὑπ' αὐτοῦ δομηθεῖσαν μονὴν τῶν Ἁγαθοῦ παρεπέμπετο. ἐν ᾗ μικρόν τινα προσδιατρίψαι χρόνον συγχωρηθεὶς αὖθις ὑπὸ τῶν τῆς βίας εὑρετῶν ἐπὶ τὴν πορρωτέρω κειμένην καὶ ὑπ' αὐτοῦ ἱδρυθεῖσαν ἱερὰν μονὴν τοῦ μεγάλου μάρτυρος Θεοδώρου μεθίσταται· οὐ γὰρ ἔφερον ἄγχι πη καθορᾶν τῆς ἑαυτῶν βδελυρίας κατῳκημένον τὸν δίκαιον. στέλλεται γοῦν ἐπὶ τούτῳ Βάρδας ὁ τοῦ Λέοντος ἀνεψιὸς οἰκειότατος· ὃς ἐπὶ τοῦ τόπου γενόμενος καὶ τῆς νηὸς ἐπιβὰς καὶ καθέδρᾳ ἐφιδρυθεὶς τὸν μέγαν ἱεράρχην πρὸς ἑαυτὸν ἐξεκαλεῖτο, καὶ εἶτα τῶν δορυφόρων ἐπ' ὄψεσιν αὐτοῦ ἑστάναι τοῦτον ἀμιλλωμένων, οὐδὲν αὐτὸς πρὸς τὸ ἐράσμιον τῆς ἱερᾶς παρουσίας ἐκείνης εὐλαβείας διέδειξε πρόσχημα, οὐδέ, εἰ μή τι ἄλλο, τὴν παροιμιακὴν ἐδυσωπήθη παραίνεσιν, τήν, "ἐκ προσώπου πολιοῦ ἐξαναστήσῃ", σοφῶς διαγγέλλουσαν· ἀπρὶξ δὲ εἴχετο τῆς καθέδρας. ὁ δὲ τὰς τοῦ νεανίου φρένας ἐωρημένας κατὰ τὴν ποίησιν ὑπιδών, ἄλλο μὲν οὐδέν, τοῦτο δὲ πρὸς αὐτὸν ἐπεφώνησεν. "ὦ καλὲ Βάρδα, γνῶθι ταῖς ἀλλοτρίαις συμφοραῖς τὰς ἑαυτοῦ καλῶς διατίθεσθαι". καὶ ταῦτα εἰπὼν τῇ βουλῇ τῶν ἀγόντων ἑαυτὸν ἐπιδίδωσιν. ὦ τῆς διορατικῆς τοῦ παναγίου ἀνδρὸς καθαρότητος τὰ πόρρω βλεπούσης ἐγγίζοντα καὶ συναγούσης τοῖς ἐνεστῶσι τὰ μέλλοντα. οὐ γὰρ ἀγχίπους ἡ δίκη τῷ νέῳ συνείπετο, χρόνων δὲ τετρακτὺς μικροῦ παριππεύσασα αὐτῷ τὴν συμφορὰν ἀπεγέννησε· καὶ εἴ τῳ φίλον τὰ περὶ τούτου τελέως πιστώσασθαι, ἐντευξάσθω τοῦ ἀνδρός, καὶ το πονηρὸν τῶν ὄψεων ἐποψόμενος τὴν ἐπ' αὐτῷ συμβᾶσαν τραγῳδίαν οὐχ ἥκιστα τρανωθήσεται. καὶ περὶ μὲν τούτων ἅλις.

Λέων δὲ πρὸς ἔρευναν λύκου μᾶλλον ἢ ποιμένος ἑαυτὸν διανίστησι καὶ τοῦτον οὐ πολλὰ καμὼν εἰσοικίζεται, ἄνδρα βιωτικῆς μερίμνης ἀπόζοντα καὶ στρατιωτικῷ πέλυκι τῷ Βουθοίνᾳ παραβαλλόμενον, πρὸς μόνην τὴν γαστέρα βλέποντα

καὶ τὰ τῶν ζωμαρίων ἐπιεικῶς καρυκεύματα, πάσης ἐπιστημονικῆς ἐμπειρίας ἀλλότριον, τῆς δὲ σολοίκου καὶ βαρβάρου λέξεως καὶ λίαν ἐμπέραμον. τοῦτον, ἵνα τὰ ἐν μέσῳ παρεὶς ⟨σιγῶ⟩, αὐθημερὸν πλύνας καὶ σοφίσας ἐπὶ τὸν ἱερατικὸν καὶ φρικτὸν θρόνον ἐφίστησι καὶ ποιμένα τῆς ἑαυτοῦ λυκώδους ψυχῆς (οὐ γὰρ τῶν Χριστοῦ θρεμμάτων) ὁ βάρβαρος ἀνηγόρευσεν. ἐντεῦθεν λοιπὸν ἔκ τε τῶν πεισθέντων ἐπισκόπων ἐξ αἰκισμῶν ἢ καὶ ἑκουσιότητος ἔκ τε τῶν νεωτεριζόντων καὶ ἀνιέρων διδασκάλων συμφορήσας κολοιώδη λέσχην, τὸ κατὰ τῆς ἐκκλησίας ἐν τῇ ἐκκλησίᾳ συνίστησι βουλευτήριον· ἐν ᾗ πάσας τὰς προμελετηθείσας ἀνοήτως παραγραφὰς καὶ περικοπὰς προσεμέσαντες καὶ τὴν προκαττυθεῖσαν ἐν Βλαχέρναις Κωνσταντίνου σύνοδον ἐπίκουρον ἔχοντες, ἐπικυρωτικὴν ταύτην ἐκείνης ὠνόμασαν· καὶ λίαν εἰκότως. ἐκ γὰρ πατρικῆς συνηγορίας τὸ κῦρος οὐκ ἔχουσαν οὔτε ἐξ ἀποστολικῶν θρόνων συνέδρους, ὡς νόμος ἐστὶν ἐκκλησιαστικός, εὐπορήσασαν, ἐκ τῶν ὁμοίων αὐτῇ τὰ ἑαυτῆς ἐπικυροῖ καὶ τῷ ψεύδει πειρᾶται παραλογίζεσθαι τὴν ἀλήθειαν. ταῦτα τῇ πρώτῃ τῆς λυμώδους αὐτῶν καθέδρας ἡμέρᾳ Θεσπίσαντες διελύοντο· τῇ δὲ μετὰ ταύτην ἐπὶ τὸ αὐτὸ συνέρρεον καὶ τῶν τοῦ ψεύδους δογμάτων ἀπήρχοντο, ἐν ᾗ καὶ τὸ ἀπηνὲς τῆς αὐτῶν ἀτεράμονος κακότητος διεδείκνυτο.

Καὶ ὁρᾶτε τὴν ὑπερβολὴν τῆς ὠμότητος. ἀπολεξάμενοι τῶν τῆς ὀρθῆς ὁμολογίας ἐπισκόπων τινάς, οὓς ἐτόπαζον ὑπὸ χεῖρας σφῶν ἐκ πρώτης ἐπιβολῆς ἄγειν, εἶτα τὰς ἱερὰς ἀμπεχόνας αὐτῶν εἰς ῥάκια μικρὰ περιρρήξαντες, πρὸ τῶν πυλῶν τοῦ μεγίστου νεὼ κατεχομένους ὡς δεσμώτας ἑστάναι προσέταττον, καὶ δὴ πολλὰ κατ' αὐτῶν βατταρίσαντες καὶ βατράχων δίκην ἀσύμβατα καὶ ἄναρθρα θορυβήσαντες, διὰ μέσης τῆς ἑαυτῶν καθέδρας προστάττουσιν ἕλκεσθαι. ἐν ᾧ

4 σιγῶ om. V *add. vulg.* 9 σκολοιώδη V κολοιώδη *vulg.* σκολιώδη? 26 ῥάκκια V *corr. vulg.* 29 ἀσύμματα V *corr. vulg.*

δὲ τοῖς τῆς κακίας ἐξάρχοις προσήγγιζον, στῆναι διὰ βοῆς ἐπεκέλευον. ὡς δὲ τὸ ἑδραῖον αὐτῶν πρὸς τὰς ἐπηρείας ἀτίνακτον ἔβλεπον (πέτραις γὰρ στερραῖς ἢ δρυσὶ βαθυρρίζοις ἐῴκεσαν) τοιαῦτα πρὸς αὐτοὺς ἀπεδούπουν νηπιόλεκτα καὶ ὑπόσαθρα ῥήματα. "ἕως τίνος ἀπειθείᾳ ἑαυτοὺς ἐπερείδοντες πρὸς τὸ τῆς ἀληθείας καλὸν διαβλέψαι ἀπείπασθε, καὶ τὸ τοῦ ὀρθοῦ λόγου μεταμαθεῖν σεβάσμιον ἀπαναίνεσθε; νῦν οὖν, εἴ τι λείψανον σκληροκαρδίας πρόσεστιν ὑμῖν, ἀπορρίψαντες πρόσιτε ἡμῖν καὶ τῇ καθ' ἡμᾶς ἱερᾷ συνόδῳ· καὶ τῆς καθέδρας καὶ ἀξίας ὑμῶν μὴ πρόδοτε δι' ἐλαφρίαν καὶ ἔριν τὸ δίκαιον."

Οἱ δὲ κατακρίτων τόπον ἐπέχοντες καὶ ὑπὸ τῆς πάντων γλώττης βλασφήμως βαλλόμενοι, ὅμως δ' οὖν πᾶσαν ὑπεριδόντες αἰκίαν καὶ κάκωσιν ὧδέ πως πρὸς αὐτοὺς ἀπεφθέγγοντο· "τὸ μὲν εἰς ὑμᾶς ἡμῶν ἀπειθὲς πολλὴν πρὸς τὴν ἀλήθειαν ἀποσώζει εὐπείθειαν· τὸ γὰρ ὑμῖν πείθεσθαι τῆς ἀληθείας ἡμᾶς πόρρω καθίστησι καὶ ἀλλοτριοῖ τῆς πρὸς θεὸν οἰκειώσεως. τὸ δέ γε καὶ τῇ καθ' ὑμᾶς συνόδῳ τίθεσθαι, ἀσυνθέτῳ μενούσῃ περὶ τὴν τῶν ἁγίων συνόδων ἀκρίβειαν καὶ τὴν ἁγίαν εἰκόνα Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ καθυβριζούσῃ καὶ τῷ ἀναθέματι τοῖς ποσῶς προσανέχουσιν αὐτῇ παραπεμπούσῃ, ἀπείρηται ἡμῖν καὶ τοῖς ὅσοι τὰ καθ' ἡμᾶς φρονοῦσιν ἢ πεφρονήκασιν. ἡμεῖς γὰρ τοῖς ἀμεταθέτοις καὶ ἀσύλοις ὅροις τῶν καθολικῶν συνόδων ἐπακολουθοῦντες καὶ ταῖς ἱεραῖς τῶν θεοφόρων πατέρων προτάσεσί τε καὶ συμπεράσμασι βεβαιούμενοι τὰς σεπτὰς εἰκόνας ἀποδεχόμεθα καὶ ἀσπαζόμεθα καὶ τοὺς μὴ οὕτως ἔχοντας τοῖς ἀναθέμασι βάλλομεν· τοὺς δὲ τῆς ὑμετέρας συμμορίας ὅρους τε καὶ προτάσεις καὶ γεωμετρικῆς ἀνάγκης ἐμβριθέστερα συμπεράσματα καὶ τὴν ὑπεράνω τῶν κροτάφων τεταμένην ὑμῶν διδασκαλίαν ὡς ἐκκλησιαστικῆς ἀκολουθίας ἀλλότρια παρῃτήμεθα. ἔχει γὰρ ὅρους μὲν τὰς ὕβρεις, προτάσεις δὲ τὴν

18 συντίθεσθαι?

Digitized by Google

ποιὰν τούτων σύνθεσιν, συμπεράσματα δὲ τὰς ἀπειλάς· ἅπερ εἰ ληφθείη εἰς ἑτέρου συλλογισμοῦ λήμματα, οὐκ ἔτι ἕξει τὴν ἐπιφορὰν ἀπειλάς, ἀλλ' ἐπιβουλὰς καὶ τὰ ταύταις ἑπόμενα. πρὸ γὰρ συντριβῆς ἡγεῖται ὕβρις· ἣν ἡμῖν μετὰ συντριβῆς ἐπιθέντες καὶ τὰ λειπόμενα, θεοῦ συνεπαμύνοντος, ζητεῖν προηρήμεθα."

Οὕτως οὗτοι τὸ τοῦ ὄφεως ἐνστερνισάμενοι φρόνιμον ἐν μέσῳ τῶν ἀφρόνων τρανῶς ἀποφήσαντες ἔστησαν· οἳ δέ, ὡς τὸ ἐπὶ Στεφάνῳ τῷ πρωτάθλῳ συνέδριον, συσχόντες τὰ ὦτα πρηνεῖς τοὺς ἁγίους ῥιπτεῖσθαι καὶ συμπατεῖσθαι ὑπὸ τῶν τυχόντων κατὰ τῶν αὐχένων προσέταττον. παίξαντες δὲ καὶ τοῦτο τὸ δρᾶμα ὡς ἐπὶ σκηνῆς οἱ σκηνικοὶ καὶ ἐμβρόντητοι ἐξαναστῆναι τούτους καὶ παλίνορσον τὴν πορείαν ποιεῖσθαι, πὺξ κατὰ κόρρης πληττομένους καὶ σιάλοις κατὰ παντὸς ὑομένους τοῦ σώματος ἀπελαύνεσθαι. οὕτως ἀτάκτως καὶ ἀνάγνως ἐν τοῖς ἁγίοις κατὰ τῶν ἁγίων ἐμπαροινήσαντες, ἤδη τῆς ὥρας καλούσης πρὸς τράπεζαν, δι' ἑνὸς ἀνθηροφώνου κληρικοῦ προλογίζοντος, τοὺς κρατοῦντας ἐπευφημήσαντες τούς τε τῆς ὀρθοτόμου πίστεως ἀρχηγοὺς τοῖς ἀναθέμασιν, ὡς ᾤοντο, παραπέμψαντες διελύοντο.

Ἀλλ' ἐπεὶ τὸ τῆς ἀνοίας αὐτῶν θυμῆρες κατὰ τῆς ἐκκλησίας ἐξέπλησαν, ὅρον συντάττουσι πόρρω τῶν τῆς ἀληθείας ὁρίων ἱστάμενον, ἐν ᾧ καθυπογράφειν εὐαγὲς εἶναι τὸν κρατοῦντα παρῄνουν. ὁ δὲ (καὶ γὰρ ἦν τὰ πρὸς θεὸν ἀλλοπρόσαλλος, εἰ καί τις ἄλλος) πείθεται τούτοις, καὶ συνελεύσεως ἐς αὖθις κηρυχθείσης, ὡς ἐπί τινος ὀκρίβαντος τὸν θρόνον αὐτοῦ μετεωρίσας ἀνέτρεχεν· οἵ τε τοῦ ψεύδους ὑπασπισταὶ τὰς ἑαυτῶν καθέδρας σπουδῇ κατελάμβανον· τοῦ δὲ πολυσφαλοῦς ταῖς ἁπάντων ἀκοαῖς ἐνηχηθέντος ὅρου, καὶ τοῖς παροῦσιν, εἰ καὶ μὴ πᾶσιν, ἀρέσαντος, συγκαταινεῖν ἕκαστον οἰκείᾳ χειρὶ τὰ ἐν αὐτῷ σεσημασμένα προέτρεπον.

9 τὸ *om.* V *add. vulg. ante* συνέδριον 14 οἰομένους V *corr. vulg.*

Digitized by Google

τοίνυν καὶ τοῦτο τελέσαντες καὶ τὰς ἑαυτῶν προσηγορίας τε καὶ τύχας τῷ μέλανι συμμολύναντες, ταῖς εἰωθυίαις εὐφημίαις πρὸς τοὺς κρατοῦντας τοῖς τε ἀναθεματισμοῖς πρὸς τοὺς τῆς ἐκκλησίας λαμπτῆρας χρησάμενοι, δηλαδὴ τοῦ αὐτοῦ κληρικοῦ προλογίζοντος, ἐσκεδάννυντο.

Ἐφ' ᾧ οὐκ ἔμελλε τῷ τῆς μακροθυμίας πελάγει τοῖς τῶν ἁγίων τωθασμοῖς ἐπιμῦσαι ἡ μισοπόνηρος δίκη, ἐπιταχῦναι δὲ καὶ τὴν ἐκδίκησιν διὰ θαυματουργίας ἐνδείξασθαι· μικρὸν γὰρ ἐν μέσῳ, καὶ τὸν προλογιστὴν ἐκεῖνον κληρικὸν ἐπὶ τῆς γλώσσης κατελάμβανε κόλασις, ἀργία καὶ νάρκωσις τῶν φωνητικῶν ὀργάνων αὐτῷ ἐπισκήψασα. καὶ ὁρᾶτε ὡς χαλεπή· ἡνίκα γὰρ αὐτῷ τὰ ψαλμικά τις ὑπεμίμνησκε λόγια, τὴν γλῶτταν εἶχεν ἀνειμένην καὶ διακονοῦσαν τοῖς ῥήμασιν· εἰ δέ τι πρός τινα κοινολογεῖσθαι συνέβαινε, παρεῖτο πάντοθεν αὖτη καὶ πεπέδητο, καὶ ἄναρθρά πως καὶ ἄσημα καὶ ὑπότραυλα μινυρίζουσα, ἀδιανόητον πρὸς τὸν ἀκούοντα τὸν φθόγγον παρέπεμπεν. οὕτως ἡ κατὰ τῶν λαλούντων σοφίαν τῷ στόματι καὶ τῇ μελέτῃ τῆς καρδίας σύνεσιν ἐρευγομένων προαλεστάτη γλῶσσα παιδεύεται. ὅθεν ἐπὶ καιροῦ τὸ Θεῖον ἐρεῖν ἔστι λόγιον, ὅτι "Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης, οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς".

Ἀλλ' ἀπόχρη ταῦτα καὶ τὴν ἐκείνων ἐλέγξαι κακόνοιαν καὶ τὴν τῶν ἁγίων διαδεῖξαι πρὸς Θεὸν οἰκειότητα. καὶ τὰ μὲν περὶ τῆς συνόδου καὶ τῶν ὅσα περὶ αὐτήν, ὡς κόρον ἀηδῆ ταῖς ἀκοαῖς ἐπεισάγοντα, πεπαύσθω. τὴν ἐξ ἐκείνου δὲ ταῖς ἐκκλησίαις ἐπεισπολάσασαν ζοφώδη σκοτόμαιναν οὐ χρεὼν βυθῷ διαρρυῆναι σιγῆς· πᾶσαν γὰρ εὐαγγελικὴν καὶ μαρτυρικὴν ἀνέκαθεν ἱστορουμένην εὐπρέπειαν κατορύξαντες τιτάνῳ διαβρόχῳ καταλελοίπεισαν οὐκ ἔδεισαν. ὅτῳ δὲ τρόπῳ πειρατέον εἰπεῖν τῆς ἐπινοουμένης ἰδέας τῇ αἱρέσει κακῶς ὑποκύψασι, τὸν ὑγιᾶ δὲ λόγον ἀπαράτρωτον ἐν τῷ τῆς συνειδήσεως κριτηρίῳ συνέχουσι, τοῦτο δὴ κακοτρόπως ἐγχειρί-

9 γὰρ τὸ ἐν μέσῳ? 27 βαθῷ V corr. vulg.

ζουσι τὸ ἀτόπημα; οἳ δὴ καὶ δάκρυον πολλάκις τῷ ἐκ τιτάνου μίγματι συγκατέρραινον, τὸ τοῦ μύσους οὐ φέροντες ἄλγημα. παντὶ γὰρ βουλομένῳ τὸ κατὰ τῶν ἱερῶν ἐκτυπωμάτων ἀνεῖτο θράσος· οἱ μὲν γὰρ τὰ τῶν κειμηλίων συνέκλων σεβάσμια, οἱ δὲ τῶν ἱερῶν ἐσθημάτων τὰ τίμια εἰς ῥάκια λεπτὰ καταρρηγνύντες τῷ ἐδάφει προσέρριπτον· ἕτεροι τὰς ἐν πίναξι γραφὰς πελέκεσι διαθρύπτοντες κατὰ μέσης ἀγορᾶς ἐπίμπρων ὠμότατα· ἄλλοι βολβίτοις καὶ ἀλοιφαῖς καὶ ὀδμαῖς ἀηδιζούσαις ἀντὶ τῶν πρόσθε θυμιαμάτων κατέχραινον. καὶ ἦν ἰδεῖν ὡς ἐν ἀπαγωγῇ συμπατούμενα τὰ τῶν θείων νεῶν ἀναθήματα· ἦν ἰδεῖν τὰ πολλοῖς ἄψαυστα καὶ ἀθέατα χερσὶ βεβήλοις ἑλκόμενα καὶ παντὶ προκείμενα θέατρον· ποιμένας τῶν ἐκκλησιῶν ἐξωθουμένους καὶ λύκους πιστευομένους τὸ ποίμνιον, τοὺς τὸν ὀρθὸν λόγον πρεσβεύοντας ἀπεληλαμένους καὶ τοὺς τὸν ὅσιον λόγον βδελυσσομένους . . . ., τοὺς ἀνεύθύνους ὡς ἐνόχους εὐθυνομένους καὶ τοὺς μαστιγίας ἐπὶ θρόνων ἀντικαθεζομένους, κληρικοὺς ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν λαμβάνοντας καὶ εἱρκταῖς ἀδιεξόδοις ἐμμένοντας, τοὺς καθ' ἡμᾶς Ναζηραίους αἰκίαις καὶ λιμῷ καὶ δίψει καὶ μακραῖς φρουραῖς καὶ πόνοις πιεζομένους καὶ μέχρις ἐσχάτων κινδύνων ἐγκαρτεροῦντας τοῖς πάθεσι, τοὺς μὲν τὸ ζῆν διὰ ξίφους ζημιουμένους, τοὺς δὲ σάκκοις ἐνδεσμουμένους καὶ δίκην λίθων καταδυομένους τοῖς ὕδασι, γυναῖκας ἐπ' ὄψει γυμνουμένας ἀρρένων καὶ καταδίκοις ἴσα τεινομένας καὶ μαστιζομένας καὶ πάντα διὰ Χριστὸν φερούσας ἡνδρειωμένῳ φρονήματι.

Καὶ ταῦτα μὲν περὶ τὰ θεῖα καὶ τοὺς διὰ τιμῆς ἄγοντας ταῦτα ὁ μισαλήθης ἐπεδείκνυτο Λέων· τὰς δὲ φιλοτησίας ἤτοι
a. 817 σπονδάς, ἃς πρὸς τοὺς ἀγχιτέρμονας Οὔννους ἐσπείσατο οὕτως αἰσχρῶς καὶ ἀκόσμως ἀποπερανθείσας, τίς οὐκ ἂν ἐπιδακρύσοι θερμότατα; ὡς αὐτὸν μὲν τοῖς ἐκείνων, ἐκείνους δὲ τοῖς

4 ἀνείτω V *corr. vulg.* 5 ῥάκκια V *corr. vulg.*
8 βολβίταις V *corr. vulg.* 29 ἐπείσατο V *corr. vulg.*

Digitized by Google

ἡμετέροις νομίμοις προσχρήσασθαὶ καὶ οὕτω τὰς πρὸς ἀλλήλους συμβάσεις πιστώσασθαι· ἐν αἷς ἦν ὁρᾶν τὸν βασιλέα Ῥωμαίων χερσὶν ἐκ κύλικος ὕδωρ κατὰ γῆς ἐπιλείβοντα, ἐπισάγματα ἵππων αὐτουργῶς ἀναστρέφοντα, ἱμάντων ἐντρίτων ἁπτόμενον, καὶ χόρτον εἰς ὕψος αἴροντα, καὶ διὰ πάντων τούτων ἑαυτὸν ἐπαρώμενον· ἔθνη δὲ τῶν ἡμετέρων θείων συμβόλων ἀθεμίτοις χερσὶν ἐπιψαύοντα καὶ κατὰ τῆς αὐτῶν δυνάμεως ἐπομνύοντα. ταῦτα οὐκ ὠμότητος ἔγγονα; οὐχὶ σαφὴς κατὰ Χριστοῦ μανία καὶ πήρωσις; οὐκ ἐπαγωγὰ τῆς τοῦ θεοῦ δικαίας ἐπιτιμήσεως; καὶ μαρτυρεῖ τοῦ τότε καιροῦ τὰ τερατώδη καὶ ἐξαίσια δείγματα, γῆς ἐντιναγμοὶ καὶ ἀνατιναγμοὶ καρδίαν προφητικῶς καταθραύοντες, αὐτάνδρους πόλεις βυθίζοντες, λιμοὶ ἐπὶ προσώπου τῆς γῆς πᾶσαν ἀπορίαν ἐνσπείροντες, γεωργοὶ τοὺς στάχυας οὐ δρεπάναις ἀλλὰ χερσὶ μαρσίπποις συλλέγοντες, ἀέρος φλογώσεις ἐοικυίας ῥάβδοις ἀφιέντος καὶ πᾶσαν τοῖς ὁρῶσιν ἔκπληξιν φέροντος· θαλάσσης ἀκάρπου μενούσης καὶ πηγαζούσης σάλον ἀντ' ὀψωνίων καὶ κλύδωνας, λήθης περὶ τὸ συγγενὲς καὶ οἰκεῖον πανταχόσε διαθεούσης καὶ στάσεις ἐμφυλίους ἀνὰ πᾶσαν χώραν καὶ πόλιν ἀποτικτούσης. ἐξ ἐκείνου γὰρ καὶ μέχρι νῦν τὸ δεινὸν τῆς ἐμφυλίου συμφορᾶς ἐπικρατῆσαι συμβέβηκε νόσημα.

Ἀλλ' οὐδ' οὕτως ἡ τοῦ ἀνδρὸς κακία ὑπελώφα καὶ ἔληγεν· ὀργῶσα δὲ καὶ σφαδάζουσα καὶ οἷα ῥῆξιν τῶν δρωμένων ἀνιαρῶν ἐπαπειλοῦσα τὴν τῆς ἀνταρσίας ῥομφαίαν αὐτῷ ἐπεστίλβωσεν, οὐκ ἐν μέσῃ παρατάξει, οὐκ ἐν ἀλλοδαπῇ, οὐκ ἐν πολεμίᾳ γῇ (ὑπῆρξε γάρ, ὡς ὑπὲρ πατρίων ἠγωνισμένῳ, ψυχρά τις ἐπαίνων ἀφορμὴ τῷ τάλανι συνεισφέρεσθαι), ἀλλ' οἵκοι τε καὶ ἰδίᾳ καὶ τὰ καθ' ἑαυτὸν εὖ διατιθέντα, ὡς ᾤετο. καὶ γὰρ τόν, δι' οὗ τὰ τῆς ἀνταρσίας ὠδίνετο, εἱρκτῇ καὶ πέδαις εἶχε τηρούμενον, μενοῦντα ἕως ὁ ἐν ποσὶν ἀγὼν τῆς γενεθλίου τοῦ σωτῆρος ἡμέρας διανυσθείη καὶ τὰ κατ' αὐτὸν ἐς τὸ ἀκριβὲς διασκέψαιτο. τὴν κατὰ τῆς ἐκκλησίας a. 820

στεφανωθεῖσαν κορυφὴν καὶ τὴν ἐπ᾽ ἀναιρέσει τῶν ὀρθῶν δογμάτων ἐκταθεῖσαν χεῖρα τῷ τῶν ὑπασπιστῶν καὶ δορυφόρων ξίφει ἐνδίκως χειρουργηθείς, μέσον τοῦ θείου νεὼ τὴν πολλοὺς ἁγίων νεὼς ἀτιμάσασαν ψυχὴν ὁ δείλαιος ἀπεκάπυσεν. ἀλλ᾽, εἰ δοκεῖ, μικρὰ τῷ κειμένῳ προσείπωμεν, μὴ τοῦ πτώματος ἐφηδόμενοι, ἀλλὰ τῆς συμφορᾶς ἀλγυνόμενοι. τί τοῦτο, ὦ λίαν ὑψηλὲ καὶ μετέωρε καὶ ἀναπνέων ἡμῖν καταιγίδας καὶ φυσῶν κατὰ τῆς ἐκκλησίας δρακόντειον; πῶς ἔπτη τὸ πνεῦμα τὸ λαίλαπας διωγμοῦ τεκταῖνον καὶ βροντῶν κατὰ τῶν εὐσεβούντων, ὡς ἐκ βύρσης Σαλμωνεὺς μανικώτατα; ποῦ τὰ τῆς μαγγανείας ἀπέβη, οἷς ἐτελέσθης ἢ συνετελέσθης, καὶ χρόνους βασιλείας ἐγκυμονῆσαι ζητῶν ὠκυμόρου ζωῆς ἀπέτεκες ἀμβλωθρίδια; πῶς οἱ ἀπὸ κοιλίας φωνοῦντες γραμματικοὶ μισθοῦ τὴν βασιλείαν ὑμῖν καθορίζοντες καὶ μακρὰν εὐετηρίαν ὑμῖν ἐρευγόμενοι, τὴν κατὰ σοῦ τοῦ ξίφους βολὴν μαντικῶς οὐ προέβλεψαν; πῶς οἱ σπέκται καὶ ἀμαξάσπαι, τὰ τῆς σῆς ἀπειλῆς ἀκροθίνια, τὴν νῦν ὁρωμένην ἀσχήμονα θέαν καὶ τῶν ὑφαίμων ὠτειλῶν τὰ αἴσχη παρέβλαψαν; ποῦ τὸ τῆς ἁλουργίδος διάδημα, ὃ παρὰ τῆς ἐκκλησίας λαβὼν τὸ ταύτης στέφος ἀπέκειρας; πῶς σήμερον νεκρός, ὁ χθὲς σοβαρός; πῶς πληγαῖς κατάστικτος, ὁ πάλαι κατὰ τῶν ἁγίων ἀκάθεκτος; ποῦ τὰ κατὰ τοῦ μεγάλου ποιμένος τυρεύματα καὶ ὀνειρώδεις καὶ ἀνύπαρκτοι ἔρευναι, ἃς ἐξέλιπες ἐξερευνῶν ἀκατάληπτα; οὐ γὰρ ἐξίσχυσεν ἡ ζητητική σου ἐπίνοια, πολλὰ καμοῦσα καὶ πολλὰ μελετήσασα, ἐφικέσθαι πρὸς μόνην ἀκοὴν φέρουσαν κατ᾽ αὐτοῦ μολύσματος ἄξιον. ἐπειδὴ δὲ ἀμοιροίη τοῦ πρὸς ἀπόκρισιν λόγου, τοῦτον ἀφέντες ἅπνουν τῷ ἑαυτοῦ συμμολυνόμενον πτώματι τῇ τοῦ αἵματος ῥαθάμιγγι βάλλεσθαι, ἐπὶ τὰ ἑξῆς τοῦ λόγου προΐωμεν.

13 ἀμβλοθρύδια V *corr. vulg.* 16 σπέκται καὶ ἀμαξάσπαι] *dedi lectionem codicis. quidnam significent haec verba quove modo corrupta sanari possint nescio.*

Digitized by Google

Ἐπικοσμεῖται τοίνυν τῷ τῆς βασιλείας ὁ δεσμώτης μετ' a. 820
αὐτὸν διαδήματι, ὃς ἐν ἐλπίσιν ὢν σὺν τῇ τῆς ζώνης ἀποβολῇ καὶ αὐτῆς τῆς ζωῆς ὑπομεῖναι τὴν στέρησιν, ὡς ἐκ βυθοῦ τῶν δεσμῶν ἀνανηξάμενος στεφηφόρος ἀντὶ δεσμοφόρου καθίσταται, καὶ ἑτεραλκέα τὴν νίκην ποιήσας τοῦ κρατεῖν ἐλπίσαντος ἐπικρατέστερος γίνεται· καὶ τὴν βασιλείαν ἐφ' ἑαυτὸν μεταστήσας καὶ μικρόν τι τῆς προκατασχούσης κακίας ὑπενδούς, ὅσον τοὺς ἐν εἱρκταῖς καὶ πόνοις ἐλευθερίαν ὀνειρώδη φαντάζεσθαι, τὸ τοῦ θανόντος ὑπέθαλπε φρόνημα καὶ τῷ ἀμφιβλήστρῳ περιπαρεὶς τῆς αἱρέσεως ἰχθύος δίκην τοῖς τῶν δογμάτων σαθροῖς ἐναπέθανεν.

Ταῦτα ὁ διαγνωστικώτατος νοῦς τοῦ μεγάλου Νικηφόρου διαγνούς, καὶ ὡς οὐ τῷ ὁλκῷ τοῦ ὄφεως συνενεκρώθη τὸ τῆς αἱρέσεως οὐραῖον, σκαίρει δὲ καὶ νεκρὰν ὥσπερ τὴν ζωὴν ὑποκρίνεται, τῇ τοῦ πνεύματος γραφίδι τὰ τῆς ὀρθοδοξίας ἐνσημηνάμενος δόγματα πρὸς τὸν νεοστεφῆ βασιλέα στεῖλαι προέθετο, ἐπ' ὀφθαλμοῖς ἄγων αὐτῷ τὰ δεσμὰ καὶ τὸν σώσαντα καὶ τὴν τοῦ τυράννου διακενῆς ἀνομήσαντος αἰσχύνην τε καὶ καθαίρεσιν καὶ τὴν ἐν οἷς ἐξήμαρτε τόποις κατάλυσιν, σκιαγραφῶν αὐτῷ τὴν ἀληθῆ καὶ πατροπαράδοτον τῶν ἱερῶν μορφωμάτων ἐκτύπωσιν, ὡς οὐ χθιζῇ τινι καὶ νεωτέρᾳ ἐφευρέσει τὸ βέβαιον ἐπιφέρεται, ἐξ οὗ δὲ τὸ τοῦ κηρύγματος μεγαλεῖον τῇ ἀποστολικῇ σάλπιγγι τὴν οἰκουμένην τρανῶς περιήχησε, τῷ σεβασμίῳ τετίμηται.

Ὃν τῆς νουνεχείας θαυμάσας καὶ τῆς τῶν λόγων ἀκριβείας ὑπεραγάμενος, εἰ καὶ τῶν ἀμυήτων περὶ τὰ τοιαῦτα πρῶτος ἐτύγχανεν, ἀμαθίαν ἐκ πατρῴας ἀπαιδευσίας ὡς περιουσίαν ἱκανὴν κληρωσάμενος, οὑτωσί πως πρὸς τοὺς τὸ γράμμα διακομισαμένους λέγεται φάναι. "Ὅσοι τῶν ἐκκλησιαστικῶν πρὸ ἡμῶν ἐν ἐρεύνῃ δογμάτων γενόμενοι, αὐτοὶ τὸν περὶ αὐτῶν λόγον παρὰ θεῷ εἰσπραχθήσονται, εἰ εὖ ἢ

29 διακονησαμένους V *corr. vulg.* ὡς οἱ V *corr. vulg.*



Digitized by Google

καὶ ἑτέρως ἐθέσπισαν· ἡμεῖς δὲ ἐν ᾧ τὴν ἐκκλησίαν βαδίζουσαν εὕρομεν, ἐν τούτῳ καὶ διαφυλάττειν προκρίνομεν. τοῦτο δὲ ἐπακριβοῦντες διαβεβαιοῦμεν, ὡς μὴ θαρρεῖν τινα κατ' εἰκόνων ἢ ὑπὲρ εἰκόνων παρρησίᾳ τὴν γλῶτταν κινεῖν· ἀλλ' ἐκποδὼν ἔστω καὶ οἰχέσθω καὶ ἡ Ταρασίου σύνοδος καὶ ἡ Κωνσταντίνου τοῦ πάλαι καὶ ἡ νυνὶ ἐπὶ Λέοντος κροτηθεῖσα, καὶ σιγὴ βαθεία τῆς τῶν εἰκόνων μνήμης ἕνεκεν ἐμπολιτευέσθω τὸ σύνολον. αὐτὸς δὲ ὁ ταῦτα λέγειν καὶ γράφειν σπουδὴν τιθέμενος, εἰ ἐπὶ τῇ δόξῃ ταύτῃ τῆς ἐκκλησίας καθηγεῖσθαι βούλοιο, πᾶσαν περὶ τῆς τῶν εἰκόνων ὑπάρξεώς τε καὶ προσκυνήσεως ἀποσιώπησιν τὸ λοιπὸν ἐνδεικνύμενος πάρεσο."

Ἐπεὶ οὖν ὁ τῶν βασιλικῶν ἀτοπημάτων ἀπόλογος καὶ μέχρις ὤτων τοῦ μακαρίου διέβη πατρός, εἰς οὐδὲν τοῦτον θέμενος οὐδὲ ἐπὶ νοῦν βαλέσθαι προθέμενος, τῆς προτέρας ἀσφαλοῦς ἀκριβείας ἀντείχετο, λογικαῖς μεθόδοις καὶ ἀποδείξεσι τὰ τῶν ἀντιπάλων ἀνασκευάζων λογύδρια, μίαν καὶ ἑβδόμην συνιστῶν τῶν οἰκουμενικῶν συνόδων τὴν ἐπὶ Ταρασίου τοῦ ἀοιδίμου τῶν πανευφήμων πατέρων συνέλευσιν, τάς τε παλιμφήμους δόξας τὰς κατὰ τῶν ἱερῶν εἰκόνων Κωνσταντίνου φρούδους ἀποδεικνὺς τάς τε Λέοντος ἐπικυρωτικάς, καὶ αὐτὸν πᾶσι θρίαμβον προτιθείς, πάσης ἐπίπροσθεν ἄγων αἱρέσεως τὴν τῶν χριστιανοκατηγόρων ἀπόνοιαν, οἷς τι μέλον περὶ τῆς ἀμωμήτου λατρείας καὶ πίστεως.

Οὕτω φρονῶν καὶ διδάσκων καὶ τοῖς θείοις ἐνασχολούμενος δόγμασι τῆς εἰλικρινοῦς πάντα τὸν κόσμον περὶ τὸ θεῖον ἐπλήρωσεν ὑπολήψεως, πάντων τῶν ἐν παλαιᾷ καὶ καινῇ διαθήκῃ μεγαλοφυῶν ἀνδρῶν, ὅσον ἐφικτόν, κατὰ πόδας ἰών. Ἀβραὰμ τὴν πίστιν ζηλῶν καὶ ταύτῃ πυρποληθεὶς τὴν διάνοιαν, καὶ τῇ τῶν λόγων δυνάμει ὡς ἄλλους ἐκείνους οἰκογενεῖς ὁπλισάμενος, τοὺς κατὰ τῆς ἐκκλησίας μανέντας βασιλεῖς λαφυραγωγήσας τρανῶς ἐχειρώσατο, καὶ ταύτην, ὡς ἕτερον Λώτ, τῆς εἰς αἵρεσιν ἀπαγωγῆς ἐλυτρώ-

Digitized by Google

σατο. Ἰσαὰκ δὲ τὴν μέχρις αἵματος ὑπακοὴν πρὸς τὸν τῶν ὅλων πατέρα θεὸν προσκτησάμενος καὶ τυθεὶς μὲν πλήθεσι πειρασμῶν, οὐ πειρασθεὶς δὲ τῆς δι' αἵματος ὁλοκαυτώσεως· ἀλλ' ἱερεὺς καὶ θύτης τῆς ἀληθινῆς καὶ ἀναίμου θυσίας γενόμενος, υἱοὺς θεοῦ καὶ κληρονόμους ἐκ τῆς ἁρμοσθείσης αὐτῷ πνευματικῶς, ὡς ἐξ ἄλλης Ῥεβέκκας, τῆς ἐκκλησίας σαφῶς ἀπεγέννησεν. Ἰακὼβ τὸ ἐν ποιμέσιν εὐδόκιμον ἐμμαξάμενος οὐκ ἐξ ἀσήμων ἀλλ' ἐπισήμων καὶ λογικῶν θρεμμάτων τὴν ποίμνην ἐπλήθυνεν, ἣν καὶ ἐπευλογεῖσθαι ἐπὶ τῷ αὐτοῦ ποδὶ παρὰ κυρίου κεκαύχηται. Ἰωσὴφ δὲ οὐκ ἐπὶ σωφροσύνῃ μόνον ἐχαρακτήρισεν, ἀλλ' ἤδη σὺν τῷ ψυχικῷ καὶ τῷ τοῦ σώματος κάλλει παρήμειψεν, ὡς ἐρασθεῖσαν αὐτοῦ τὴν νυνὶ Αἰγυπτίαν, φημὶ δὴ τὴν κακέμφατον αἵρεσιν, καὶ ἐπὶ κοινωνίᾳ τῶν ἀθεμίτων δογμάτων ἀνθέλκουσαν, συναποδύσασθαι μὴ τὸ ἱμάτιον μόνον ἀλλὰ καὶ τὴν ἱερὰν ἀμπεχόνην ἠρέτισεν. Ἰὼβ δὲ τὸ τληπαθὲς καὶ πρὸς τὸν ἀνταγωνιστὴν καρτερικὸν ἐπεδείξατο, φιλοσοφῶν ἐν τοῖς δυσχερέσι καὶ ξέων οὐκ ὀστράκῳ τὰ τῆς ἐπηρείας ἕλκη, τὰ δὲ τῶν ἀντιπάλων ἐξοστρακίζων πρὸς ἀφροσύνην ἐφέλκοντα ῥήματα. Μωϋσέως τῷ δημαγωγικῷ κακόνι ἐπηκολούθησε, λαὸν ἐξ Αἰγυπτιακοῦ σκότους τῆς αἱρετικῆς κενοφωνίας, σκόρδοις καὶ κρομμύοις, τοῖς ὀδωδόσι φημὶ διδάγμασι, τοὺς πειθομένους αὐτῇ τρεφούσης, ἐξάγων, καὶ δι' ἅλμης Ἐρυθρᾶς, στυφούσης, λέγω, διδασκαλίας, ἀποκλυσάμενος αὐτῶν τὸ ἀηδὲς καὶ πολύβρωμον ἄχθος, πρὸς δὲ γῆν βρύουσαν γάλα καὶ μέλι, τὴν λευκὴν καὶ ἄδολον καὶ ἡδονῆς πλήρη μετοχετεύσας τῶν θείων δογμάτων γλυκύτητα. Ἀαρὼν τὸν ἐν ἱερεῦσι σεβάσμιον ἐκληρώσατο, οὐ Μωϋσῆν τινα τὰ πρὸς θεὸν ἐξηγούμενον ἔχων, ἐνώπιος δὲ ἐνωπίῳ ταῖς εὐκτικαῖς ἱερολογίαις ἀεὶ συγγινόμενος, οὐδὲ κιδάρει καὶ ἐπωμίδι καὶ κώδωσιν ἐνιαύσια φθεγγομένοις εἰς τὰ ἄδυτα εἰσιών, τῇ δὲ τῶν ἀπο-

17 δυσχεροῖς V *corr. vulg.*



Digitized by Google

